§. 18. *ταῖς εἴκοσι τῶν νεῶν*] Plutarch.: *Ὁ δ' Ἀλκιβιάδης εἴκοσι ταῖς ἀρίσταις διεκπλεύσας καὶ προσβαλὼν τῇ γῇ καὶ ἀποβὰς ἐνέκειτο τοῖς φεύγουσιν ἐκ τῶν νεῶν καὶ πολλοὺς ἔφθειρεν*. Inde Zeunius apud Xenophontem excidisse *ταῖς ἀρίσταις* opinatur. Qua

αὐτοῦ εἴκοσιν ἡμέρας καὶ χρήματα πολλὰ λαβὼν παρὰ τῶν Κυζικηνῶν οὐδὲν ἄλλο κακὸν ἐργασάμενος ἐν τῇ πόλει ἀπέπλευσεν εἰς Προικόννησον. Ἐκεῖθεν δ' ἔπλευ- 21
σεν εἰς Πέρινθον καὶ Σηλυβρίαν. Καὶ Περίνθιοι μὲν εἰςεδέξαντο εἰς τὸ ἄστυ τὸ στρατόπεδον· Σηλυβριανοὶ δὲ ἐδέξαντο μὲν οὔ, χρήματα δὲ ἔδοσαν. Ἐντεῦ- 22
θεν δ' ἀφικόμενοι τῆς Καλχηδονίας εἰς Χρυσόπολιν ἐτείχισαν αὐτὴν καὶ δεκατευτήριον κατεσκεύασαν ἐν αὐτῇ καὶ τὴν δεκάτην ἐξέλεγον τῶν ἐκ τοῦ Πόντου πλοίων, καὶ φυλακὴν ἐγκαταλιπόντες ναῦς τριάκοντα καὶ στρατηγὼ δύο, Θηραμένην καὶ Εὔμαχον, τοῦ τε χωρίου ἐπιμελεῖσθαι καὶ τῶν ἐκπλεόντων πλοίων, καὶ

Wessel. ad Diodor. XIII, 66. et Kühner ad Anab. VII, 2, 28.
§. 22. Ante Dind. II. scribebatur *Χαλκηδ.*; *Καλχ.* est in B. — *ἐξέλεγον* B. C. D. E. Venet. Vict. marg. Steph. Dind.; ceteri *ἐξέλεγοντο.* — *καὶ* ante *φυλακὴν* Weisk. omittit, Schneid. et Dind. secludunt. — *Εὔμαχον* B. C. D. E. Vict. marg. Steph. Dind. I.; *Εὔβουλον* ceterae edd. cum A.

coniectura non opus est, siquidem Thucydides certe, quum totum quiddam dictum est, parti articulum aliquoties addit. V. I, 116: *Ἀθηναῖοι δὲ ὡς ᾔσθοντο, πλεύσαντες ναυσὶν ἑξήκοντα ἐπὶ Σάμου ταῖς μὲν ἑκκαίδεκα τῶν νεῶν οὐκ ἐχρήσαντο κ.τ.λ.* VIII, 39. 102. Krüger. ad Dionys. p. 303. Herbst. l. l. p. 41. Poppo ad Thucyd. I, 116. Nostro loco totius classis commemoratio latet in verbis *ἐπιπλέουσι τοῖς ἐναντίοις.*

πλὴν τῶν Συρακοσίων] Syracusani, Atheniensibus in Sicilia devictis, duce Hermocrate classem auxilio miserant Lacedaemoniis. Thucyd. VIII, 26.

§. 22. *ἐξέλεγον*] Media forma, quam postulat Schneiderus, quia *ἐκλέγειν τὴν δεκάτην* sit decimas exigere alii, non sibi, non opus esse multis exemplis comprobavit Hertlinius (Progr. Werth. 1836. p. 5 seq.). Sufficit inspicere Thucyd. VIII, 44: *οἱ δὲ χρήματα μὲν ἐξέλεξαν εἰς δύο καὶ τριάκοντα τάλαντα, οἱ Πελοποννήσιοι, παρὰ τῶν Ῥοδίων.* Demosth. Phil. I. p. 49. adv. Ctesiph. p. 504. Adn. ad Oecon. I, 6. Kühner. gr. max. §. 398, 3. Rem, quae hic narratur, dilucide explanat Boeckh. *Staatshaush. der Ath.* I. p. 441. ed. II.

καὶ φυλακὴν ἐγκαταλιπόντες] Sensus est: Chrysopoli *δεκατευτήριον* instituerunt atque, postquam etiam praesidium cum duobus ducibus ibi reliquerant, exigere coeperunt decumas. Ita quam vim habeat *καί*, cognoscitur. Non enim sufficiebat constituere qui portoria reciperent et administrarent, sed accedere debebant etiam copiae, quae solvere decumas recusantes cogerent. Neque a Xenophonte, uti Brücknerus (*Zeitschr. f. A.-W.* 1839. no. 50.) putat, dissentit Diodorus, qui XIII, 64. tradit: *Χρυσόπολιν ᾤκισαν φρούριον καὶ τὴν ἱκανὴν αὐτῷ κατέλιπον δύναμιν· τοῖς δ' ἐπὶ τούτων κατασταθεῖσι προςέταξαν δεκάτην πράττεσθαι τοὺς ἐκ τοῦ Πόντου πλέοντας,* in quibus ordo quidem sententiarum contrarius, sensus plane idem est atque apud Xenophontem.

Θηραμένην καὶ Εὔμα-

εἴ τι ἄλλο ἠδύναντο βλάπτειν τοὺς πολεμίους. Οἱ δ'
23 ἄλλοι στρατηγοὶ εἰς τὸν Ἑλλήσποντον ᾤχοντο. Παρὰ
δὲ Ἱπποκράτους, τοῦ Μινδάρου ἐπιστολέως, εἰς Λακεδαίμονα γράμματα πεμφθέντα ἑάλωσαν εἰς Ἀθήνας, λέγοντα τάδε· Ἔῤῥει τὰ κᾶλα. Μίνδαρος ἀπεσσούα.
24 Πεινῶντι τὤνδρες. Ἀπορίομες, τί χρὴ δρᾶν. Φαρνά-
βαζος δὲ παντὶ τῷ τῶν Πελοποννησίων στρατεύματι καὶ τοῖς συμμάχοις παρακελευσάμενος μὴ ἀθυμεῖν ἕνεκα ξύλων, ὡς ὄντων πολλῶν ἐν τῇ βασιλέως, ἕως ἂν τὰ σώματα σῶα ᾖ, ἱμάτιόν τ' ἔδωκεν ἑκάστῳ καὶ ἐφόδιον δυοῖν μηνοῖν, καὶ ὁπλίσας τοὺς ναύτας φύλακας

B. *δύναντο*, unde Dind. II. III. *δύναιντο*.

§. 23. *κᾶλα* scripsi ex emendatione Bergkii (*Zeitschr. f. A.-W.* 1852. no. 2. p. 9.) pro vulg. *καλά*. — Vulg. *δ' ἀπέσσυται* primus correxit Morus ex Plutarcho et Eustathio, assentiente cod. B., in quo est *ἀπεσσύα*; *δ'* abest etiam apud Plutarch. Alc. 28. et Eustath. ad Iliad. I. p. 63.; Ahrens. de dial. dor. p. 483. vult *ἀπέσστα· πεινᾶντι*, quem confutat Bergk. — *Ἀποqίομες* coniecit Valcken., recepit Dind. ex B. et Vict. pro vulg. *ἀπορέομες*. — Pro *δρᾶν* Dind. cum Hermanno scripsit *δρῆν*.

χον] Schneiderus, quum vulgo *Εὔβουλον* legatur, scriptum fuisse existimat *Θρασύβουλον*, qui commemoratur una cum Theramene §. 12. Nec tamen credibile est *Θρασύβουλον* corruptum esse in *Εὔβουλον*, nec Schneideri opinio congruit cum Diodoro, qui l. d. narrat: *μετὰ δὲ ταῦτα διελομένων αὐτῶν τὰς δυνάμεις, Θηραμένης μὲν μετὰ πεντήκοντα νεῶν κατελείφθη πολιορκήσων Χαλκηδόνα καὶ Βυζάντιον, Θρασύβουλος δὲ περὶ Θρᾴκην πεμφθεὶς τὰς ἐν τούτοις τόποις πόλεις προσηγάγετο.* Dindorfius autem optimorum librorum lectioni *Εὔμαχον* alteram *Εὔβουλον*, cuius alibi non magis fit mentio quam illius, non assequor, cur praetulerit.

καὶ εἴ τι ἄλλο ἠδύναντο] Codicis B. scriptura merum esse vitium videtur. Quin, si clare scriptum exhiberet *δύναιντο*, librariis imputandum esset, qui in orationem obliquam optativum intrudere amabant.

§. 23. *Ἱπποκράτους*] Hic secundum Thucyd. VIII, 107. in Euboeam missus erat ad arcessendas naves, quae, si fides habenda est Diodoro XIII, 41., quum ab Epicle adducerentur, apud Athon promontorium perierunt.

πεμφθέντα] De participii transpositione v. adn. ad Oecon. IX, 4.

ἑάλωσαν εἰς Ἀθήνας] Plut. Alc. 28: *Ἑάλω δὲ καὶ γράμματα Λακωνικῶς φράζοντα τοῖς ἐφόροις τὴν γεγενημένην ἀτυχίαν.* De hac brachylogia v. Stallb. ad Plat. Rep. V. p. 468. *τὸν δὲ ζῶντα εἰς τοὺς πολεμίους ἁλόντα.* Cf. infra II, 2, 17: *ᾑρέθη πρεσβευτὴς εἰς Λακεδαίμονα.* Kühner. gr. max. §. 622. b. De plurali numero verbi substantivo neutrius generis coniuncto v. adn. ad Ages. I, 21. Kühner. ad Comment. IV, 3, 12.

τὰ κᾶλα] Proprie sunt ligna, deinde naves. Sic Aristoph. Lysistr. 1251: *ὄκα τοι μὲν ἐπ' Ἀρταμιτίῳ πρόκροον θείκελοι ποττὰ κᾶλα τὼς Μήδως τ' ἐνίκων*, ubi schol. cod. Rav. interpretandi causa addit

κατέστησε τῆς ἑαυτοῦ παραθαλασσίας γῆς. Καὶ συγκαλέ- 25
σας τούς τε ἀπὸ τῶν πόλεων στρατηγοὺς καὶ τριηράρχους
ἐκέλευε ναυπηγεῖσθαι τριήρεις ἐν Ἀντάνδρῳ ὅσας ἕκαστοι
ἀπώλεσαν, χρήματά τε διδοὺς καὶ ὕλην ἐκ τῆς Ἴδης κομί-
ζεσθαι φράζων. Ναυπηγουμένων δέ, οἱ Συρακόσιοι ἅμα 26
τοῖς Ἀντανδρίοις τοῦ τείχους τι ἐπετέλεσαν, καὶ ἐν τῇ φρου-
ρᾷ ἤρεσαν πάντων μάλιστα. Διὰ ταῦτα δὲ εὐεργεσία τε καὶ
πολιτεία Συρακοσίοις ἐν Ἀντάνδρῳ ἐστί. Φαρνάβαζος μὲν
οὖν ταῦτα διατάξας εὐθὺς εἰς Καλχηδόνα ἐβοήθει.

Ἐν δὲ τῷ χρόνῳ τούτῳ ἠγγέλθη τοῖς τῶν Συ- 27
ρακοσίων στρατηγοῖς, ὅτι οἴκοθεν φεύγοιεν ὑπὸ τοῦ

§. 24. Ante Schneid. II. edebatur *Συρακουσίοις* pro *συμμάχοις*, quod est in B. C. D. E. Venet. — B. C. om. *σῶα*. — Ante Weisk. scribebatur *φυλακάς*. — Dind. *παραθαλαττίας*.

§. 25. *συγκαλ.* scripsi cum B. C. D. E. pro *ξυγκ.* — *ἐκέλευε* A. B. C. D. E. marg. Steph. Schneid. II. Dind.; reliqui *ἐκέλευσε*.

§. 27. *οἴκοθεν φεύγοιεν* dedi ex B. pro *φεύγοιεν οἴκοθεν*.

πρὸς τὰ πλοῖα, codices autem vel *κάλα* vel *καλά* exhibent. Vulgata scriptura *τὰ καλά*, quo nomine utebantur Spartani de omni disciplina publica (v. Haasium ad Rep. Lac. III, 3. Heiland. Quaestt. de dial. Xen. capp. sell. p. 2. Müller. *Dor.* II. p. 300.), ab h. l. aliena est. Ut de Mindari obitu, de alimentorum inopia, sic imprimis de amissis navibus nuntiare debebat Hippocrates. Male autem Spartanum legatum, quamvis gravi proelio victum, decebat scribere, rempublicam esse perditam vel de omnibus esse desperandum.

ἀπεσσούα] Eustathius explicat *ἀφώρμησε*, *ἀπῆλθε*, *τέθνηκε*. Est enim forma dorica pro *ἀπεσύη*. V. Valcken. ad Theocr. p. 263. et, qui eum corrigit, Hermannum de emend. rat. gr. p. 294.

Ἀπορίομες] V. Ahrens. de dial. dor. §. 26. p. 207 seq. Valckenarius hanc epistolam duobus versibus iambicis claudicantibus constare dicit. Hermannus autem ad restituendos iustos duorum trimetrorum numeros scribi vult: *Μίνδαρος δ᾽ ἀπεσσούα — ἀποριῶμες ὅττι δρῆν*, cui mutationi obstat testimonium Plutarchi, qui, nisi quod *ἀπορέομες* praebet, eadem epistolae verba conservavit, quae in cod. B. legimus. Post cladem Cyzicenam, testibus Diodoro XIII, 52., Iustino V, 4., Schol. ad Eurip. Orest. 371. 772., Lacedaemonii Athenas legatos de pace miserunt, quae impedita est opera Cleophontis praepotentis tunc demagogi. Sievers. Commentt. histt. de Xen. Hell. p. 11. Herbst. l. l. p. 42.

§. 24. *συμμάχοις*] Praeferendum alteri lectioni, quia praeter Syracusanos alii quoque Lacedaemoniis erant socii.

§. 25. *ἀπὸ τῶν πόλεων*] in quas apud Cyzicum devicti dilapsi erant.

§. 26. *Ναυπηγουμένων*] *τῶν Πελοποννησίων*. V. ad *δεομένων* §. 29.

εὐεργεσία] Nomen euergetarum, h. e. eorum, qui de republica bene promeriti es-

δῆμον. Ξυγκαλέσαντες οὖν τοὺς ἑαυτῶν στρατιώτας, Ἑρμοκράτους προηγοροῦντος, ἀπωλοφύροντο τὴν ἑαυτῶν συμφοράν, ὡς ἀδίκως φεύγοιεν ἅπαντες παρὰ τὸν νόμον· παρῄνεσάν τε προθύμους εἶναι καὶ τὰ λοιπά, ὥςπερ τὰ πρότερα, καὶ ἄνδρας ἀγαθοὺς πρὸς τὰ ἀεὶ παραγγελλόμενα, μεμνημένους ὅσας τε ναυμαχίας αὐτοὶ καθ' αὑτοὺς νενικήκατε καὶ ναῦς εἰλήφατε, ὅσα τε μετὰ τῶν ἄλλων ἀήττητοι γεγόνατε, ἡμῶν ἡγουμένων, τάξιν ἔχοντες τὴν κρατίστην διά τε τὴν

προηγοροῦντος, quod Hertlin. (Progr. Werth. 1836. p. 7.) coniecit, non dubitavi recipere, quum B. C. D. E. Venet. Vict. margg. Steph. et Leoncl. *προηγοῦντος* praebeant; reliqui *προηγουμένου*. — *συμφοράν* scripsi cum B. C. D. E. pro *ξυμφ.* — Verba *μεμνημένους — ὑπάρχουσαν*, quae vulgo post *χρῆναι διδόναι* (§. 28.) posita erant, Moro postulante, Schneid. transposent, honorificentissimum erat. SCHNEID. V. interpretes ad Demosth. adv. Lept. p. 475, 10.

§. 27. *Ἑρμοκράτους*] Compara Thucyd. VIII, 85.

προηγοροῦντος] Ceterorum nomine verba faciente. Ita vertit Leonclavius. Recte. At hic sensus vulgatae lectioni vix inest. Usitatum potius in hoc genere dicendi vocabulum *προηγορεῖν*. V. infra II, 2, 22. Anab. V, 4, 7: *ἔρχονται ἐκ Σινώπης πρέσβεις — καὶ ἐλθόντες εἰς τὸ στρατόπεδον ἔλεγον· προηγόρει δὲ Ἑκατώνυμος.* Uti vero sensus postulat *προηγοροῦντος*, sic eodem ducit optimorum librorum lectio *προηγοῦντος*, quae e *προηγουμένου* oriri vix potuit.

ἀδίκως — παρὰ τὸν νόμον] Schneiderus frustra desideravit *καὶ* ante *παρὰ τὸν νόμον*, quae verba Zeunio prorsus abundare videbantur. V. quae afferunt Koeppenius et Hertlinius (Progr. Werth. 1845. p. 4 seqq.): infra I, 7, 25: *τούτους ἀπολλύντες ἀκρίτους παρὰ τὸν νόμον.* Demosth. 23, 2: *κατὰ τοὺς νόμους δικαίως κρῖναι τὴν γραφήν.* 44, 7. *κατὰ τοὺς νόμους δικαίως.* Isae. 10, 5: *παρὰ πάντας τοὺς νόμους ἀδικεῖ.*

μεμνημένους — ὑπάρχουσαν] Dindorfius, quanquam in ed. Berol. haec verba neque, ubi olim erant, neque quo Schneiderus ea collocavit loco ferri posse, sed post *παραγγελλόμενα* inserenda censuit, tamen in altera quoque ed. Lips. vulgatum verborum ordinem servavit. Sunt autem illa verba sic plane inepte posita, nisi *λόγον — διδόναι* (§. 28.) ita velis accipere, uti usurpantur V, 2, 20., ubi significant dicendi potestatem dare. Tum verbis *μεμνημένους — ὑπάρχουσαν* causa adderetur, qua Hermocrates se defendendi potestatem sibi vindicaret. Qua in re id maxime mirum esset, quod veniam eam, quae nequissimo cuique ab adversariis facile conceditur, multis peterent verbis iidem duces a militibus suis, quorum studium modo adeo experti sunt, ut eos in officio erga magistratus, qui ipsos patria expulissent, continere aegre potuerint. Contra eo loco, quo nunc vides, verbis illis insertis, omnia bene inter se cohaerent. Hermocrates, postquam suam et collegarum deploravit fortunam, cohortatur milites, ut fortes sint sub alio-

ἡμετέραν ἀρετὴν καὶ τὴν ὑμετέραν προθυμίαν καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν ὑπάρχουσαν· ἑλέσθαι δὲ ἐκέλευον ἄρχοντας, μέχρις ἂν ἀφίκωνται οἱ ᾑρημένοι ἀντ' ἐκείνων. Οἱ δ' ἀναβοήσαντες ἐκέλευον κείνους ἄρχειν, 28
καὶ μάλιστα οἱ τριήραρχοι καὶ οἱ ἐπιβάται καὶ οἱ κυβερνῆται. Οἱ δ' οὐκ ἔφασαν δεῖν στασιάζειν πρὸς τὴν ἑαυτῶν πόλιν· εἰ δέ τις ἐπικαλοίη τι αὐτοῖς, λόγον ἔφασαν χρῆναι διδόναι. Οὐδενὸς δὲ οὐδὲν ἐπαι- 29
τιωμένου, δεομένων, ἔμειναν, ἕως ἀφίκοντο οἱ ἀντ'

suit post verba ἀντ' ἐκείνων. — B. D. Vict. habent αὐτοί τε καθ'. — B. ἡμῖν ἡγουμένων. — Schneid. II. et Dind. scripserunt ὑμετέραν ἀρετὴν — ἡμετέραν προθυμίαν. — D. E. θάλασσαν. — Dind. μέχρι. — B. edd. vett. εἰρημένοι.

§. 28. Cast. Leoncl. Wells. Schneid. Weisk. Dind. ἐκείνους. V. Bornem. ad Symp. IV, 12. Lobeck. ad Phryn. p. 7.

rum quoque imperio; nam gloriam et armis et erga duces obedientia partam porro etiam iis esse tuendam. Quum autem milites alios eligere duces recusent, iterum dux admonet, ut in officio erga rempublicam maneant; se autem futuros iis esse exemplo, qui, si forte ex ipsis militibus exsistat aliquis accusator, imperii sui rationem debeant reddere. Iam vero quum nemo surgeret accusaturus, militibus denuo precantibus, imperium retinebant Hermocrates cum collegis, donec novi duces Syracusis advenerunt.

ὅσας — νενικήκατε] Eodem modo oratio obliqua in rectam transit infra IV, 1, 13. VI, 5, 35. Anab. I, 3, 14. 16. VI, 6, 25: οὐ μέντοι ἔφη νομίζειν, οὐδ' εἰ παμπόνηρος ἦν Δέξιππος, βίαν χρῆναι πάσχειν αὐτόν, ἀλλὰ κριθέντα, ὥσπερ καὶ ὑμεῖς νῦν ἀξιοῦτε, τῆς δίκης λαχεῖν. V. Kühner. ad I, 3, 14. et eiusd. gr. schol. §. 345. adn. 6. Rost. gr. max. §. 123b, 5. et 6. Buttm. §. 139. adn. 3.

ἡμετέραν — ὑμετέραν] Modestiam et prudentiam loquentis postulare ὑμετέραν ἀρετὴν — ἡμετέραν προθυμίαν censuerat Weiskius, cui sequentes editores nimis alacriter obsecuti sunt. Ubique enim militibus, non duci tribui προθυμίαν bene monuit Sauppius (*NN. Jahrbb. f. Ph. u. P.* 1833. p. 389.). Alius quidem generis est §. 30., ubi inter privatas et quasi domesticas ducis virtutes, quales sunt ἐπιμέλεια et κοινότης, numeratur προθυμία. H. l. de iis virtutibus agitur, quibus paritur belli gloria. Ex his autem sunt primariae ducis ἀρετή et militum προθυμία, quae quidem προθυμία animum non minus ad pugnandum quam ad obediendum significat paratum. Opponitur enim Cyrop. I, 6, 13. προθυμία ἀθυμίᾳ, unde apparet et ἀρετή et προθυμία denotare fortitudinem, illam eius, cuius est ducere, hanc eorum, quorum est obedire.

μέχρις] Dindorfius ubique, etiam invitis libris, μέχρι scribit. Iniuria hoc facere edocemur iis, quae disserunt Lobeck. ad Phryn. p. 14., Sauppius ad Comm. IV, 7, 2. Obsecutus sum in hac quoque re melioribus codicibus. V. Praef. p. XXXIV.

§. 29. δεομένων] Morus δέ, Weiskius πάλιν sive σφόδρα addere volebant, Schneiderus maluit γενομένων seu γεγενημένων. Omissum subiectum non desideramus; v. adn. ad Oe-

ἐκείνων στρατηγοί, Δήμαρχός τε Ἐπιδόκου καὶ Μύσκων
Μενεκράτους καὶ Πόταμις Γνωσία. Τῶν δὲ τριηράρχων
ὀμόσαντες οἱ πλεῖστοι κατάξειν αὐτούς, ἐπὰν εἰς Συ-
ρακούσας ἀφίκωνται, ἀπεπέμψαντο ὅποι ἠβούλοντο
30 πάντας ἐπαινοῦντες· ἰδίᾳ δὲ οἱ πρὸς Ἑρμοκράτην
προσομιλοῦντες μάλιστα ἐπόθησαν τήν τε ἐπιμέλειαν
καὶ προθυμίαν καὶ κοινότητα. Ὧν γὰρ ἐγίνωσκε τοὺς
ἐπιεικεστάτους τῶν τριηράρχων καὶ κυβερνητῶν καὶ
ἐπιβατῶν, ἑκάστης ἡμέρας τὸ πρωῒ καὶ πρὸς ἑσπέραν
συναλίζων πρὸς τὴν σκηνὴν τὴν ἑαυτοῦ ἀνεξυνοῦτο
ὅ τι ἤμελλεν ἢ λέγειν ἢ πράττειν, κἀκείνους ἐδίδασκε
κελεύων λέγειν τὰ μὲν ἀπὸ τοῦ παραχρῆμα, τὰ δὲ
31 βουλευσαμένους. Ἐκ τούτων Ἑρμοκράτης τὰ πολλὰ
ἐν τῷ συνεδρίῳ εὐδόξει λέγειν τε δοκῶν καὶ βουλεύ-
ειν τὰ κράτιστα. Κατηγορήσας δὲ Τισσαφέρνους ἐν
Λακεδαίμονι Ἑρμοκράτης, μαρτυροῦντος καὶ Ἀστυό-

§. 29. τε Ἐπιδόκου dedit Dind. e Thuc. VIII, 85. et Vict. pro τε Πιδόκου. — B. Γνωσίους, C. Γνωσίας. — Venet. καὶ τριηρ. pro Τῶν δὲ τρ. — B. ὅπη.

§. 30. οἱ e marg. Steph. cum Zeunio addidit Weisk. — Schneid. II. Dind. ἐγίγνωσκε. V. ad I, 6, 4. — Vict. καὶ τῶν τριηρ. — τὸ ante πρωῒ seclusit Dind. III. — συναλίζων, auctore Moro, recepit Schneid. pro συναυλίζων. — Vict. om. τὴν post σκηνήν. — ἀνεξυνοῦτο pro ἀνεκοινοῦτο debetur Suidae, qui hoc vocabulum ex h. l. bis laudat; primus recepit con. XX, 20. Supra §. 26. Cf. infra II, 2, 16. 4, 29. IV, 1, 13. VI, 2, 34. Adde Kühner. ad Anab. I, 2, 17. Quia vero non idem est subiectum ac praecedentis participii, particulae δέ ne locus quidem erat. Verte: Quum nemo eum accusaret, quia precabantur (omnes), manebant.

§. 30. οἱ πρὸς Ἑρμοκράτην προσομιλοῦντες] Schneider. postulat προσομιλήσαντες, quod huic loco parum convenit propterea, quod non exprimit quotidianam cum Hermocrate consuetudinem. Pertinet autem hoc quoque praesentis participium ad eum usum, de quo dixi supra ad §. 5. et infra ad I, 7, 28. προδιδόντι.

Ὧν γάρ] H. e. τοὺς γὰρ ἐπιεικεστάτους τῶν — ἐπιβατῶν, ὧν ἐγίνωσκε.

ἀνεξυνοῦτο] Vox dorica. V. Valcken. ad Theocr. II. p. 47. ξυνός pro κοινός apud Pindarum saepius legi animadvertit Heiland. Quaestt. de dial. Xen. p. 8.

§. 31. Κατηγορήσας] Hoc et sequentia verba Brücknerus l. d. suppositicia et adscripta esse censet ab eo, qui Hermocratem e Thucydide (VIII, 85.) nosset Tissaphernis apud Lacedaemonios accusatorem exstitisse et causam inde invenire sibi visus esset, qua Pharnabazus, quippe infestus illi, tam benigne eum excepisset. Omnino quidem alienam esse ab h. l. commemorationem illius accusationis, qua potissimum Hermocrates Pharnabazi gratiam sibi

χου, καὶ δόξας τὰ ὄντα λέγειν, ἀφικόμενος παρὰ Φαρνάβαζον, πρὶν αἰτῆσαι χρήματα λαβὼν, παρεσκευάζετο πρὸς τὴν εἰς Συρακούσας κάθοδον ξένους τε καὶ τριήρεις. Ἐν τούτῳ δὲ ἧκον οἱ διάδοχοι τῶν Συρακοσίων εἰς Μίλητον καὶ παρέλαβον τὰς ναῦς καὶ τὸ στράτευμα.

Ἐν Θάσῳ δὲ κατὰ τὸν καιρὸν τοῦτον στάσεως 32
γενομένης, ἐκπίπτουσιν οἱ λακωνισταὶ καὶ ὁ Λάκων
ἁρμοστὴς Ἐτεόνικος. Καταιτιαθεὶς δὲ ταῦτα πρᾶξαι
σὺν Τισσαφέρνει Πασιππίδας ὁ Λάκων ἔφυγεν ἐκ
Σπάρτης· ἐπὶ δὲ τὸ ναυτικὸν, ὃ ἐκεῖνος ἠθροίκει
ἀπὸ τῶν συμμάχων, ἐξεπέμφθη Κρατησιππίδας, καὶ
παρέλαβεν ἐν Χίῳ. Περὶ δὲ τούτους τοὺς χρόνους, 33
Θρασύλλου ἐν Ἀθήναις ὄντος, Ἆγις ἐκ τῆς Δεκελείας
προνομὴν ποιούμενος πρὸς αὐτὰ τὰ τείχη ἦλθε τῶν
Ἀθηναίων· Θράσυλλος δὲ ἐξαγαγὼν Ἀθηναίους καὶ
τοὺς ἄλλους τοὺς ἐν τῇ πόλει ὄντας ἅπαντας παρέ-

Morus. — Ald. Iunt. Wells. Mor. Schneid. I. Weisk. Dind. I. om. prius ἤ, quod est in B. C. D. E. Vict. — ἤμελλεν dedi cum B. pro ἔμελλεν.

§. 31. εὐδόξει dedit Steph. pro εὖ δόξει, Cast. ηὐδόξει. — A. C. E. Y. Venet. edd. vett. ante Steph. βουλεύων.

§. 32. Θάσῳ primus rescripsit Morus cum Vict. pro Θάσσῳ. — A. edd. vett. Κρατισιππίδας.

§. 33. Ante Dind. II. scribebatur Θρασύλον et Ἄγις. Portus scribit ὁ Ἄγις.

conciliavit, non probavit V. D., quanquam Petero (l. l. p. 23 seq.) concedendum est, quae integro fere anno post facta est, Hermocratis adversus Syracusas expeditionem sine ulla temporis notatione subiungi, esse durissimum. Narrant enim Thucyd. l. l. et Diodor. XIII, 63. Hermocratem, quo tempore Astyochus imperio, quod ante Mindarum gessit, se abdicabat, Spartam venisse ad accusandum Tissaphernem. Pecunias autem a Pharnabazo nunc demum accipit, ubi bellum contra patriam parat, quod factum est ol. 92, 4. sive 409 a. Chr. V. etiam quae de h. l. disserit Kruegerus ad Dion. Hal. p. 322 seq.

Ἐν τούτῳ — εἰς Μίλητον] Etiam teste Thucydide l. l. Ephesi copias susceperunt novi duces. Quo autem modo classis Syracusana Antandro, ubi erat §. 26., Ephesum venerit, narrare omisit Xenophon. Gravius etiam esse videtur, quod verba Ἐν τούτῳ — ἧκον οἱ διάδοχοι discrepare aiunt cum §. 29., ubi adventus successorum Hermocratis et ceterorum ducum iam commemoratus est. Quod quidem recte monuissent Peterus et Brücknerus, si scriptum esset Ἐν τούτῳ — ἦλθον. Est autem scriptum ἧκον, i. e. interea aderant, advenerant, quod ab iis, quae §. 29. leguntur, non dissentire manifestum est. V. Praef. p. IX.

§. 33. Δεκελείας] Demum hunc atticum suasu Alcibiadis anno belli undevicesimo muniverant Lacedaemonii. Thucyd. VI, 91. 93. VII, 19.

ταξε παρὰ τὸ Λύκειον γυμνάσιον ὡς μαχούμενος, ἂν
34 προσίωσιν. Ἰδὼν δὲ ταῦτα Ἆγις ἀπήγαγε ταχέως, καί
τινες αὐτῶν ὀλίγοι τῶν ἐπὶ πᾶσιν ὑπὸ τῶν ψιλῶν ἀπέθανον. Οἱ οὖν Ἀθηναῖοι τῷ Θρασύλλῳ διὰ ταῦτα ἔτι προθυμότεροι ἦσαν ἐφ' ἃ ἧκε, καὶ ἐψηφίσαντο ὁπλίτας τε αὐτὸν καταλέξασθαι χιλίους, ἱππέας δὲ ἑκατόν, τριή-
35 ρεις δὲ πεντήκοντα. Ἆγις δὲ ἐκ τῆς Δεκελείας ἰδὼν πλοῖα
πολλὰ σίτου εἰς Πειραιᾶ καταθέοντα οὐδὲν ὄφελος ἔφη εἶναι τοὺς μετ' αὐτοῦ πολὺν ἤδη χρόνον Ἀθηναίους εἴργειν τῆς γῆς, εἰ μή τις σχήσοι καὶ ὅθεν ὁ κατὰ θάλατταν σῖτος φοιτᾷ· κράτιστόν τε εἶναι καὶ Κλέαρχον τὸν Ῥαμφίου, πρόξενον ὄντα Βυζαντίων, πέμψαι εἰς
36 Καλχηδόνα τε καὶ Βυζάντιον. Δόξαντος δὲ τούτου, πλη-
ρωθεισῶν νεῶν ἔκ τε Μεγάρων καὶ παρὰ τῶν ἄλλων ξυμμάχων πεντεκαίδεκα, στρατιωτίδων μᾶλλον ἢ ταχειῶν, ᾤχετο. Καὶ αὐτοῦ τῶν νεῶν τρεῖς ἀπόλλυνται ἐν τῷ Ἑλλησπόντῳ ὑπὸ τῶν Ἀττικῶν ἐννέα νεῶν, αἳ ἀεὶ ἐνταῦθα τὰ πλοῖα διεφύλαττον, αἱ δ' ἄλλαι ἔφυγον εἰς
37 Σηστόν, ἐκεῖθεν δὲ εἰς Βυζάντιον ἐσώθησαν. (Καὶ ὁ
ἐνιαυτὸς ἔληγεν, ἐν ᾧ Καρχηδόνιοι, Ἀννίβα ἡγουμένου,

A. Ald. *περὶ τὸ Λύκειον*. — Portus delet *γυμνάσιον*. — Edd. vett. *μαχόμενος*.

§. 34. *ἐψηφίσαντο* B. C. D. E. margg. Steph. et Leoncl.; ante Schneid. II. legebatur *ἐπεψηφίσαντο*.

§. 35. *καὶ ὅθεν*, quod coni. Weisk. et recep. Schneid. II. Dind., est in B. C. E. pro vulg. *ὅθεν καί*. — Schneid. II. Dind. I, suadente Wolfio, *σχήσει*. — Dind. II. delet *καὶ* ante *Κλέαρχον*; Cobet. Orat. de arte interpretandi grammatices et critices fundamentis innixa p. 69. pro *κράτιστόν τε εἶναι* ex Veneto quodam codice rescripsit: *Ἐν δὲ Λακεδαίμονι καλὸν ἔδοξε τοῖς τέλεσι Κράτιστόν τε τὸν Ἀριστομένους καὶ Κλέαρχον*, quae recepit Dind. III. Utitur autem Cobetus hoc loco tanquam exemplo, quam callide librarii interdum locos lacunis depravatos refinxerint. Namque ex iis, quae in codice Veneto invenit, colligit, postquam verba *Ἐν δὲ Λακεδαίμονι καλὸν ἔδοξε τοῖς τέλεσι* excidissent, insertum esse *εἶναι*, omissum *τὸν Ἀριστομένους*. Quae quanquam subtilissime sunt disputata, non tamen explicant, quo modo in iis, quae statim sequuntur, de solo Clearcho, omisso eius nomine,

§. 34. *ἐφ' ἃ ἧκε*] V. §. 8.

§. 36. *εἰς Σηστόν*] Huius oppidi, quod tum Athenienses tenebant, praesidium fortasse non satis magnum aut non paratum erat ad propellendas hinc Clearchi naves, praesertim quum non diutius quam ad respirandum erat necessarium, Sesti eas commoratas esse consentaneum videatur.

§. 37. *Ἀννίβα*] Filius Gesconis et nepos Hamilcaris, qui in bello contra Gelonem ad Himeram ceciderat. Diodor. XIII, 43. — Ceterum quae h. l. de

στρατεύσαντες ἐπὶ Σικελίαν δέκα μυριάσι στρατιᾶς αἱροῦσιν ἐν τρισὶ μησὶ δύο πόλεις Ἑλληνίδας Σελινοῦντα καὶ Ἱμέραν.)

CAPUT II.

ARGUMENTUM.

Thrasyllus cum classe Samum petit. Inde in Asia nonnulla feliciter gerit, sed Ephesum aggressus, a Tissapherne et Syracusanis defensam, afficitur magna clade. Rursus ad Lesbum navibus quattuor Syracusanorum captis navigavit Sestum, ub erant reliquae Atheniensium copiae. Hinc universus exercitus Lampsacum se contulit ad hiberna, in quibus, Alcibiade duce adversus Abydum expeditione suscepta, Pharnabazum vincunt et aliis locis Persarum terras vastant.

---

1 *Τῷ δὲ ἄλλῳ ἔτει (ᾧ ἦν Ὀλυμπιὰς τρίτη καὶ ἐνενηκοστή, ᾗ προστεθεῖσα ξυνωρὶς ἐνίκα Εὐαγόρου Ἠλείου,* B.P.a.22. *τὸ δὲ στάδιον Εὐβώτας Κυρηναῖος, ἐπὶ ἐφόρου μὲν ὄντος ἐν Σπάρτῃ Εὐαρχίππου, ἄρχοντος δ' ἐν Ἀθήναις*

sermo esse possit, quasi de altero praefecto antea omnino nulla facta esset mentio. Si igitur recte inserta sunt, quae cod. Ven. addit, adiiciendum est insuper Clearchi nomen post *δόξαντος δὲ τούτου* vel post *ᾤχετο*. (§. 36.) Vereor autem, ne calliditas eius potius sit, qui codicem Venetum scripsit, quam eorum, qui vulgatam lectionem tradiderunt. Fieri enim facile potuit, ut qui particulam *καί* male intellexisset, *κράτιστον* acciperet pro nomine proprio: unde conveniens videbatur fictum patris nomen addere, atque necessarium, eiecto *εἶναι*, ut *πέμψαι* haberet, unde suspensum esset, interpolare formulam illam: *ἐν δὲ Λακ. — τοῖς τέλεσι.*

§. 36. Ante Dind. II. scribebatur *ἐννέα νηῶν.*

Cap. II. §. 1. Morus et Schneid. verba *ᾧ ἦν — Κυρηναῖος* uncinis secludunt. — Vulg. *ἐννενηκοστή*; Schneid. I. *ἐννεηκοστή*; A. B. Mor. Schaef. Dind. *ἐνενηκοστή*. — Diodor. XIII, 68. B. C. D. E. Venet. marg. Steph. *Εὐβάτας*; Vict. *Εὐάτας*; Dind. II. III. cum Pausan. VIII, 6. marg. Steph. *Εὐβώτας*; antea scribebatur *Εὐβότας*. — Schwidop (Progr. Regiom. 1839. p. 2.) mavult *ἐπὶ ἐφορεύοντος μὲν*, coll. I, 3, 1. 6, 1. II, 1, 10.

rebus Siculis traduntur, teste Diodoro XIII, 62., facta sunt ol. 92, 4, non ol. 92, 2, cuius anni finis hic designandus erat. Quare totam hanc paragraphum spuriam esse merito suspicantur Sieversius (Comm. histor. de Xen. Hell. p. 91.) et Brücknerus (Programm. Suidnic. 1838. p. 8.). V. Praef. p. XVIII.

Cap. II. §. 1. *Τῷ δὲ ἄλλῳ ἔτει*] i. e. anno belli vicesimo altero. Quae sequuntur verba interpolatoris manum manifeste produnt. Nam ne recte quidem novum annum indicari apparet

Εὐκτήμονος,) Ἀθηναῖοι μὲν Θορικὸν ἐτείχισαν, Θρά-
συλλος δὲ τά τε ψηφισθέντα πλοῖα λαβὼν καὶ πεντακισ-
χιλίους τῶν ναυτῶν πελταστὰς ποιησάμενος (ὡς ἅμα
καὶ πελτασταῖς ἐσομένοις) ἐξέπλευσεν ἀρχομένου τοῦ
2 θέρους εἰς Σάμον. Ἐκεῖ δὲ μείνας τρεῖς ἡμέρας ἔπλευ-
σεν εἰς Πύγελα· καὶ ἐνταῦθα τήν τε χώραν ἐδῄου καὶ
προσέβαλλε τῷ τείχει. Ἐκ δὲ τῆς Μιλήτου βοηθήσαν-
τές τινες τοῖς Πυγελεῦσι διεσπαρμένους ὄντας τῶν Ἀθη-
3 ναίων τοὺς ψιλοὺς ἐδίωκον. Οἱ δὲ πελτασταὶ καὶ τῶν
ὁπλιτῶν δύο λόχοι βοηθήσαντες πρὸς τοὺς αὑτῶν ψι-
λοὺς ἀπέκτειναν ἅπαντας τοὺς ἐκ Μιλήτου ἐκτὸς ὀλί-
γων, καὶ ἀσπίδας ἔλαβον ὡς διακοσίας, καὶ τρόπαιον
4 ἔστησαν. Τῇ δὲ ὑστεραίᾳ ἔπλευσαν εἰς Νότιον καὶ ἐν-
τεῦθεν παρασκευασάμενοι ἐπορεύοντο εἰς Κολοφῶνα.
Ol. 92, 3. Κολοφώνιοι δὲ προσεχώρησαν· καὶ τῆς ἐπιούσης νυκτὸς
ἐνέβαλον εἰς τὴν Λυδίαν, ἀκμάζοντος τοῦ σίτου, καὶ
κώμας τε πολλὰς ἐνέπρησαν καὶ χρήματα ἔλαβον καὶ ἀν-
5 δράποδα καὶ ἄλλην λείαν πολλήν. Στάγης δὲ ὁ Πέρσης
περὶ ταῦτα τὰ χωρία ὤν, ἐπεὶ οἱ Ἀθηναῖοι ἐκ τοῦ στρα-
τοπέδου διεσκεδασμένοι ἦσαν κατὰ τὰς ἰδίας λείας, βοη-
θησάντων τῶν ἱππέων, ἕνα μὲν ζωὸν ἔλαβεν, ἑπτὰ δὲ
6 ἀπέκτεινε. Θράσυλλος δὲ μετὰ ταῦτα ἀπήγαγεν ἐπὶ θά-
λατταν τὴν στρατιὰν ὡς εἰς Ἔφεσον πλευσούμενος. Τισ-

C. E. πεντακ. πελτ. τῶν ναυτ. ποι. — Wells. ἐσομένους, iubente Steph.; uncinas addidi cum Schneid.

§. 2. Ante Schneid. II. legebatur προσέβαλε, B. D. πρόσβαλλε. — Ald. Iunt. A. C. E. F. πρὸς τῷ τείχει; Morus et Schneid. I. πρὸς secludunt.

§. 4. Dind. II. III. τῇ δ' ὑστ. V. Saupp. ad Comment. III, 12, 6. — E. ἐνέβαλλον, Venet. ἀνέβαλον.

ex iis, quae ad finem antecedentis capitis sunt dicta. Novus belli annus incipit cum vere olympiadis 92, 2. Quae de ξυνωρίδι hic legimus deprompta sunt fortasse ex Pausania, qui V, 8, 3. haec narrat: δρόμος δὲ δύο ἵππων τελείων συνωρὶς κληθεῖσα τρίτῃ μὲν ὀλυμπιάδι ἐτέθη πρὸς ταῖς ἐνενήκοντα· Εὐαγόρας δὲ ἐνίκησεν Ἠλεῖος. Vide etiam quae de temporum notis disserui in Praef. p. XXVII.

Θράσυλλος] V. I, 1, 8. Qui cum Dodwello hinc tertium et vicesimum belli annum auspicantur, Thrasyllum ad arcessendas naves duos fere annos Athenis versatum esse statuunt, quod quomodo fieri potuerit, non intelligitur. V. Herbst. l. l. p. 59.

[ὡς ἅμα καὶ πελτασταῖς ἐσομένοις]] Peterus vertit: cum his, qui simul pro peltastis futuri erant, comparans V, 2, 4: τάφρον ὤρυττε κύκλῳ περὶ τὴν πόλιν, τοῖς μὲν ἡμίσεσι τῶν στρατιω-

σαφέρνης δὲ αἰσθόμενος τοῦτο τὸ ἐπιχείρημα στρατιάν
τε συνέλεγε πολλὴν καὶ ἱππεῖς ἀπέστελλε, παραγγέλλων
πᾶσιν εἰς Ἔφεσον βοηθεῖν τῇ Ἀρτέμιδι. Θράσυλλος δὲ 7
ἑβδόμῃ καὶ δεκάτῃ ἡμέρᾳ μετὰ τὴν εἰσβολὴν εἰς Ἔφεσον
ἔπλευσε καὶ τοὺς μὲν ὁπλίτας πρὸς τὸν Κορησσὸν ἀπο-
βιβάσας, τοὺς δὲ ἱππεῖς καὶ πελταστὰς καὶ ἐπιβάτας καὶ
τοὺς ἄλλους πάντας πρὸς τὸ ἕλος ἐπὶ τὰ ἕτερα τῆς πό-
λεως ἅμα τῇ ἡμέρᾳ προσῆγε δύο στρατόπεδα. Οἱ δ' ἐκ 8
τῆς πόλεως ἐβοήθησαν σφίσιν, οἵ τε σύμμαχοι, οὓς
Τισσαφέρνης ἤγαγε, καὶ Συρακόσιοι οἵ τ' ἀπὸ τῶν προ-
τέρων εἴκοσι νεῶν καὶ ἀπὸ ἑτέρων πέντε, αἳ ἔτυχον τότε
παραγενόμεναι, νεωστὶ ἥκουσαι μετὰ Εὐκλέους τε τοῦ
Ἵππωνος καὶ Ἡρακλείδου τοῦ Ἀριστογένους στρατηγῶν,
καὶ Σελινούσιαι δύο. Οὗτοι δὲ πάντες πρῶτον μὲν πρὸς 9
τοὺς ὁπλίτας τοὺς ἐν Κορησσῷ ἐβοήθησαν· τούτους δὲ
τρεψάμενοι καὶ ἀποκτείναντες ἐξ αὐτῶν ὡσεὶ ἑκατὸν καὶ
εἰς τὴν θάλασσαν καταδιώξαντες πρὸς τοὺς παρὰ τὸ
ἕλος ἐτράποντο. Ἔφυγον δὲ κἀκεῖ οἱ Ἀθηναῖοι, καὶ ἀπώ-
λοντο αὐτῶν ὡς τριακόσιοι. Οἱ δὲ Ἐφέσιοι τρόπαιον 10
ἐνταῦθα ἔστησαν καὶ ἕτερον πρὸς τῷ Κορησσῷ. Τοῖς δὲ
Συρακοσίοις καὶ Σελινουσίοις, κρατίστοις γενομένοις,
ἀριστεῖα ἔδωκαν καὶ κοινῇ καὶ ἰδίᾳ πολλοῖς, καὶ οἰκεῖν
ἀτέλειαν ἔδοσαν τῷ βουλομένῳ ἀεί· Σελινουσίοις δέ,

§. 5. *ἐκ τοῦ στρατοπέδου* delet Vict. — Venet. *πεζὸν* pro *ζωόν*.

§. 7. *πρὸς τὸν Κορ.* B. C. D. F. Vict. marg. Steph.; ante Dind. II. legebatur *ἐς τὸν Κορ.*; Steph. Byz. et Strabo XIV, p. 948. scribunt *Κόρισσος*, Aristid. rhet. P. I. p. 309. *Κόρεσσος*.

§. 8. *οἱ* ante *Συρακ.* cum B. D. Vict. primus om. Dind.

§. 9. *θάλασσαν* codd. et edd.; Dind. II. III. *θάλατταν*.

τῶν προκαθημένοις σὺν τοῖς ὅπλοις τῶν ταφρευόντων, τοῖς δὲ ἡμίσεσιν ἐργαζομένοις. V. etiam Matth. gr. gr. §. 405, 2. Kühner. gr. max. §. 568. adn. 5. Nihilominus haeoverba, quae inutilem tautologiam continent, pro interpretamento antecedentium verborum existimanda nobis videntur. A librario ad marginem fortasse scriptum erat *ὡς ἅμα καὶ πελταστὰς ἐσομένους*, quae quum deinde in verborum seriem recepta essent, ne prorsus idem atque antea dici videretur, dativus est repositus. De re v. Boeckh. *Staatshaush. d. Ath.* I. p. 391. ed. II.

§. 4. *παρασκευασάμενοι*] Absolute hoc verbum usurpatur etiam infra I, 3, 20. Anab. VII, 3, 36.

ἀκμάζοντος τοῦ σίτου] i. e. mense Iulio anni 410 a. Chr.

§. 8. *ἀπὸ τῶν προτέρων εἴκοσι νεῶν*] De his v. Thucyd. VII, 26., unde videmus duas Selinusias naves simul cum

11 ἐπεὶ ἡ πόλις ἀπωλώλει, καὶ πολιτείαν ἔδοσαν. Οἱ δ'
Ἀθηναῖοι τοὺς νεκροὺς ὑποσπόνδους ἀπολαβόντες ἀπέ-
πλευσαν εἰς Νότιον κἀκεῖ θάψαντες αὐτοὺς ἔπλεον ἐπὶ
12 Λέσβου καὶ Ἑλλησπόντου. Ὁρμοῦντες δὲ ἐν Μηθύμνῃ
τῆς Λέσβου εἶδον παραπλεούσας ἐξ Ἐφέσου τὰς Συρα-
κοσίας ναῦς πέντε καὶ εἴκοσι· καὶ ἐπ' αὐτὰς ἀναχθέντες
τέτταρας μὲν ἔλαβον αὐτοῖς ἀνδράσι, τὰς δ' ἄλλας κατε-
13 δίωξαν εἰς Ἔφεσον. Καὶ τοὺς μὲν ἄλλους αἰχμαλώτους
Θράσυλλος εἰς Ἀθήνας ἀπέπεμψε πάντας, Ἀλκιβιάδην
δὲ Ἀθηναῖον, Ἀλκιβιάδου ὄντα ἀνεψιὸν καὶ ξυμφυγάδα,
ἀπέλυσεν. Ἐντεῦθεν δὲ ἔπλευσεν εἰς τὴν Σηστὸν πρὸς
τὸ ἄλλο στράτευμα· ἐκεῖθεν δὲ ἅπασα ἡ στρατιὰ διέβη
14 εἰς Λάμψακον. Καὶ χειμὼν ἐπῄει, ἐν ᾧ οἱ αἰχμάλωτοι
Συρακόσιοι, εἰργμένοι τοῦ Πειραιῶς ἐν λιθοτομίαις,
διορύξαντες τὴν πέτραν, ἀποδράντες νυκτὸς ᾤχοντο εἰς
15 Δεκέλειαν, οἱ δ' εἰς Μέγαρα. Ἐν δὲ τῇ Λαμψάκῳ συν-
τάττοντος Ἀλκιβιάδου τὸ στράτευμα πᾶν, οἱ πρότεροι
στρατιῶται οὐκ ἠβούλοντο τοῖς μετὰ Θρασύλλου συν-
τάττεσθαι, ὡς αὐτοὶ μὲν ὄντες ἀήττητοι, κεῖνοι δὲ ἡττη-

§. 10. *ἀπωλώλει* B. D. Vict. Dind. II. III, ceteri *ἀπολώλει*.
§. 12. B. *ὁρῶντες* pro *ὁρμοῦντες*.
§. 13. Pro vulg. *κατέλευσεν* Brod. maluit *κατέλυσεν*, Wolf. *ἀπέλυσεν*, quod receperunt Schneid. et Dind.; Federi *κατηλέησε* placet Petero (l. d. p. 24.) et Sauppio (*NN. Jahrbb. f. Ph. u. P.* 1833. p. 389.).

Syracusanis advenisse. Igitur *καὶ Σελινούσιαι δύο* dictum est pro *καὶ οἱ ἀπὸ Σελινουσίων δυοῖν*.

§. 13. *ἀπέλυσεν*] Hoc sensus postulat. Cf. infra IV, 8, 21: *καὶ Τιγράνην — λαμβάνει — καὶ χρημάτων πολλῶν ἀπέλυσε*. Solum quidem *κατελεεῖν* non habet vim nostri verbi *begnadigen*. Opinor autem scriptum esse a Xenophonte *κατελεήσας ἀπέλυσεν*, quae duo vocabula facile poterant in unum conflari. Cf. infra 5, 19: *ἐλεήσαντες ἀφεῖσαν*.

§. 15. *οὐκ ἠβούλοντο — συντάττεσθαι*] Cf. Plut. Alc. 29.

ἅπαντες] et Alcibiadis et Thrasylli copiae.

§. 18. *τὸ Κορυφάσιον*] Paus. Messen. c. 36: *τὴν ἄκραν τὸ Κορυφάσιον, ἐπ' αὐτῇ δὲ ἡ Πύλος κεῖται*. Helotes Maleam promontorium habitantes, facta seditione, abierunt et ad Coryphasium se converterunt. Paullo autem ante Pylum, quam Athenienses cum Messeniis per sedecim annos obtinuerant, Lacedaemonii recuperaverant initio anni 409 a. Chr. sive ol. 92, 3. Diodor. XIII, 64. Haack. dissert. chron. p. 5.

ἐν Ἡρακλείᾳ τῇ Τραχινίᾳ — τοὺς ἐποίκους] Haec iungenda esse docet sensus; quare non opus est, ut verba transponamus sic: *τοὺς ἐν Ἡρ. τῇ Τρ. ἐποίκους Ἀχαιοί*. Cur autem Achaei Heracleenses in bello cum Oetaeis proderent, duae erant causae. Quum belli

μένοι ἥκοιεν. Ἐνταῦθα δὴ ἐχείμαζον ἅπαντες Λάμψακον 16
τειχίζοντες, καὶ ἐστράτευσαν πρὸς Ἄβυδον· Φαρνάβαζος
δ' ἐβοήθησεν ἵπποις πολλοῖς καὶ μάχῃ ἡττηθεὶς ἔφυγεν.
Ἀλκιβιάδης δὲ ἐδίωκεν ἔχων τούς τε ἱππέας καὶ τῶν
ὁπλιτῶν εἴκοσι καὶ ἑκατόν, ὧν ἦρχε Μένανδρος, μέχρι
σκότος ἀφείλετο. Ἐκ δὲ τῆς μάχης ταύτης συνέβησαν 17
οἱ στρατιῶται αὐτοὶ αὑτοῖς καὶ ἠσπάζοντο τοὺς μετὰ
Θρασύλλου. Ἐξῆλθον δέ τινας καὶ ἄλλας ἐξόδους τοῦ
χειμῶνος εἰς τὴν ἤπειρον καὶ ἐπόρθουν τὴν βασιλέως
χώραν. Τῷ δ' αὐτῷ χρόνῳ καὶ Λακεδαιμόνιοι τοὺς εἰς 18
τὸ Κορυφάσιον τῶν Εἱλώτων ἀφεστῶτας ἐκ Μαλέας
ὑποσπόνδους ἀφῆκαν. Κατὰ δὲ τὸν αὐτὸν καιρὸν καὶ
ἐν Ἡρακλείᾳ τῇ Τραχινίᾳ Ἀχαιοὶ τοὺς ἐποίκους, ἀντιτε-
ταγμένων πάντων πρὸς Οἰταίους, πολεμίους ὄντας,
προέδοσαν, ὥστε ἀπολέσθαι αὐτῶν πρὸς ἑπτακοσίους
σὺν τῷ ἐκ Λακεδαίμονος ἁρμοστῇ Λαβώτῃ. Καὶ ὁ 19
ἐνιαυτὸς ἔληγεν οὗτος, ἐν ᾧ καὶ Μῆδοι ἀπὸ Δαρείου
τοῦ Περσῶν βασιλέως ἀποστάντες πάλιν προσεχώρησαν
αὐτῷ.

§. 14. Ante Morum *εἰργμένοι*.
§. 15. *κεῖνοι* scripsi cum B. V. I, 1, 28.
§. 16. *Ἐνταῦθα δὲ* B.
§. 17. Pro *δέ τινας* A. *δέ τινες*, quod voluit Brod.
§. 18. Ald. Cast. *ἐς Κορυφάσιον* pro *εἰς τὸ Κορ.* — Articulum *τοὺς* ante *Οἰταίους*, quem ex codd. solus A. habet, omisi.

Peloponnesiaci anno sexto Lacedaemonii sex millia colonorum in Thessaliam mitterent, qui conderent Heracleam, admittebantur ad coloniam ex omnibus Graeciae civitatibus qui vellent, exceptis Achaeis et Ionibus, Thucyd. III, 92. At postea Agis, quum ad castigandos Oetaeos, qui finitimos Lacedaemoniorum colonos bello vexare non cessabant, in Phthiotidem venisset, Achaeos, obsides et pecunias iis imperans, ad ineundam cum Trachiniis societatem coegit, Thucyd. VIII, 3.

CAPUT III.

ARGUMENTUM.

Athenienses Chalcedonem, quae ad Lacedaemonios defecerat, oppugnant. Eam infeliciter defendere conatur Hippocrates, Lacedaemoniorum harmosta. Quare, quum hic in pugna occidisset, Athenienses cum Chalcedoniis et Pharnabazo, qui his auxilio venerat, pacem ineunt. Mox eodem modo Byzantium oppugnant a Lacedaemoniis occupatum: quod, quum capi non potuisset, a Byzantiis ipsis et Lacedaemoniis quibusdam, absente Clearcho harmosta, in manus Atheniensium, quos clam noctu intromiserant, traditur.

---

1 Τοῦ δ' ἐπιόντος ἔτους ὁ ἐν Φωκαίᾳ νεὼς τῆς Ἀθη-
B.P.a.23. νᾶς ἐνεπρήσθη, πρηστῆρος ἐμπεσόντος. Ἐπεὶ δ' ὁ χει-
μὼν ἔληγε (Παντακλέους μὲν ἐφορεύοντος, ἄρχοντος δ'
Ἀντιγένους), ἔαρος ἀρχομένου, (δυοῖν καὶ εἴκοσιν ἐτῶν
τῷ πολέμῳ παρεληλυθότων) οἱ Ἀθηναῖοι ἔπλευσαν εἰς
2 Προικόννησον παντὶ τῷ στρατοπέδῳ. Ἐκεῖθεν δ' ἐπὶ
Καλχηδόνα καὶ Βυζάντιον ὁρμήσαντες ἐστρατοπεδεύ-
σαντο πρὸς Καλχηδόνι. Οἱ δὲ Καλχηδόνιοι προσιόντας
αἰσθόμενοι τοὺς Ἀθηναίους τὴν λείαν ἅπασαν κατέθεντο
3 εἰς τοὺς Βιθυνοὺς Θρᾷκας, ἀστυγείτονας ὄντας. Ἀλκι-

Cap. III. §. 1. Ante Dind. III. legebatur *ἐτοῖν* pro *ἐτῶν*. — D. *παρεληλυθ. τῷ πολ.*

§. 2. *Καλχηδόνα* v. I, 1, 22.

§. 4. *ὅσον οἷόν τ' ην* dedit Dind. ex B. marg. Steph. et Leoncl. pro vulg. *ὅσον τ' ἦν*; Morus maluit *ὅσον γ' ἦν*.

§. 6. *μέχρι* B. Dind. pro *μέχρις*.

Cap. III. §. 1. *Ἐπεὶ δ' ὁ χειμὼν ἔληγε*] Post diem vicesimum quintum mensis Martii anni 409. a. Chr. Quae sequuntur verba seclusi; nam interpolatoris esse produnt eo, quod magistratus hic nominati ad quintum, non ad tertium et vicesimum belli annum pertinent. Belli annorum commemoratio, quanquam h. l. recte fit, eiusdem tamen esse videtur, qui I, 6. 1. et II, 1, 7. falsos interpolavit numeros. Brücknerus (Progr. Suidn. 1838. p. 9.) antecedentem quoque sectionem pro insiticia habet, ut quae sunt I, 2, 18. continuo sequantur verba: *ἐπεὶ δ' ὁ χειμὼν ἔληγεν, ἔαρος ἀρχομένου, οἱ Ἀθηναῖοι ἔπλευσαν κτλ.* V. quae in Praefatione de annorum notationibus disserui.

§. 2. *λείαν*] i. e. opes hostilibus praedationibus obnoxias. Cf. §. 3. et Plutarch. Alc. 29: *οἱ δὲ δείσαντες τήν τελείαν ἀπέδοσαν.*

§. 4. *ὅσον οἷόν τ' ἦν*] Mo-

βιάδης δὲ λαβὼν τῶν τε ὁπλιτῶν ὀλίγους καὶ τοὺς ἱπ-
πέας καὶ τὰς ναῦς παραπλεῖν κελεύσας, ἐλθὼν εἰς τοὺς
Βιθυνοὺς ἀπῄτει τὰ τῶν Καλχηδονίων χρήματα· εἰ δὲ
μή, πολεμήσειν ἔφη αὐτοῖς. Οἱ δὲ ἀπέδοσαν. Ἀλκιβιά- 4
δης δὲ ἐπεὶ ἧκεν εἰς τὸ στρατόπεδον τήν τε λείαν ἔχων
καὶ πίστεις πεποιημένος, ἀπετείχιζε τὴν Καλχηδόνα παντὶ
τῷ στρατοπέδῳ ἀπὸ θαλάττης εἰς θάλατταν καὶ τοῦ πο-
ταμοῦ ὅσον οἷόν τ᾽ ἦν ξυλίνῳ τείχει. Ἐνταῦθα Ἱππο- 5
κράτης μὲν ὁ Λακεδαιμόνιος ἁρμοστὴς ἐκ τῆς πόλεως
ἐξήγαγε τοὺς στρατιώτας ὡς μαχούμενος· οἱ δ᾽ Ἀθηναῖοι
ἀντιπαρετάξαντο αὐτῷ, Φαρνάβαζος δὲ ἔξω τῶν περιτει-
χισμάτων προσεβοήθει στρατιᾷ τε καὶ ἵπποις πολλοῖς.
Ἱπποκράτης μὲν οὖν καὶ Θράσυλλος ἐμάχοντο ἑκάτερος 6
τοῖς ὁπλίταις χρόνον πολύν, μέχρι Ἀλκιβιάδης ἔχων
ὁπλίτας τέ τινας καὶ τοὺς ἱππέας ἐβοήθησε. Καὶ Ἱππο-
κράτης μὲν ἀπέθανεν, οἱ δὲ μετ᾽ αὐτοῦ ὄντες ἔφυγον εἰς
τὴν πόλιν. Ἅμα δὲ καὶ Φαρνάβαζος οὐ δυνάμενος συμ- 7
μίξαι πρὸς τὸν Ἱπποκράτην διὰ τὴν στενοπορίαν, τοῦ
ποταμοῦ καὶ τῶν ἀποτειχισμάτων ἐγγὺς ὄντων, ἀπεχώ-
ρησεν εἰς τὸ Ἡράκλειον τὸ τῶν Καλχηδονίων, οὗ ἦν
αὐτῷ τὸ στρατόπεδον. Ἐκ τούτου δὲ Ἀλκιβιάδης μὲν 8
ᾤχετο εἰς τὸν Ἑλλήσποντον καὶ εἰς Χεῤῥόνησον χρήματα
πράξων· οἱ δὲ λοιποὶ στρατηγοὶ συνεχώρησαν πρὸς Φαρ-
νάβαζον ὑπὲρ Καλχηδόνος εἴκοσι τάλαντα δοῦναι Ἀθη-

§. 7. στενοπορίαν B. margg. Steph. Leoncl. Dind. II. III. pro στενοχωρίαν.

§. 8. E. Ἀλκ. δὲ ἐκ τούτου ᾤχ. μέν. — συνεχώρησαν ex B. C. D. E. Venet. margg. Steph. Leoncl. dedit Dind. pro συνεφώνησαν.

rus in vulgata lectione ἦν accipit pro ἐξῆν collato IV, 2,21., qui locus prorsus diversi est generis. Ceterum fluvio hic commemorato nomen est urbis Chalcedonis.

§. 7. στενοπορίαν] Schneiderus iungenda esse opinatur στενοπορίαν τοῦ ποταμοῦ, ut est Anab. IV, 3, 7 τοῦ ποταμοῦ τὴν δυσπορίαν, qui locus ab hoc eo discrepat, quod illic flumen transeundum, hic inter munitiones et flumen iter in urbem patefaciendum est.

§. 8. συνεχώρησαν] Phavorin.: συγχωρῶ· ἀττικῶς ἀντὶ τοῦ συνέρχομαι καὶ συμφωνῶ. Anab. V, 2, 9: Ἐδόκει — ᾤοντο — οἱ λοχαγοὶ — καὶ ὁ Ξενοφῶν ξυνεχώρησε.

ὑπὲρ Καλχηδόνος] Quae mox referuntur Brücknero (*Zeitschr. f. A.-W.* 1839. no. 50.)

ναίοις Φαρνάβαζον καὶ ὡς βασιλέα πρέσβεις Ἀθηναίων
9 ἀναγαγεῖν, καὶ ὅρκους ἔδοσαν καὶ ἔλαβον παρὰ Φαρνα-
βάζου ὑποτελεῖν τὸν φόρον Καλχηδονίους Ἀθηναίοις,
ὅσονπερ εἰώθεσαν, καὶ τὰ ὀφειλόμενα χρήματα ἀποδοῦ-
ναι, Ἀθηναίους δὲ μὴ πολεμεῖν Καλχηδονίοις, ἕως ἂν
10 οἱ παρὰ βασιλέως πρέσβεις ἔλθωσιν. Ἀλκιβιάδης δὲ τοῖςδε
τοῖς ὅρκοις οὐκ ἐτύγχανε παρών, ἀλλὰ περὶ Σηλυβρίαν
ἦν· κείνην δ' ἑλὼν πρὸς τὸ Βυζάντιον ἧκεν, ἔχων Χεῤ-
ῥονησίτας τε πανδημεὶ καὶ ἀπὸ Θρᾴκης στρατιώτας καὶ
11 ἱππεῖς πλείους τριακοσίων. Φαρνάβαζος δὲ ἀξιῶν δεῖν
κἀκεῖνον ὀμνύναι περιέμενεν ἐν Καλχηδόνι, μέχρι ἔλ-
θοι ἐκ τοῦ Βυζαντίου· ἐπειδὴ δ' ἦλθεν, οὐκ ἔφη
12 ὀμεῖσθαι, εἰ μὴ κἀκεῖνος αὐτῷ ὀμεῖται. Μετὰ ταῦτα
ὤμοσεν ὁ μὲν ἐν Χρυσοπόλει οἷς Φαρνάβαζος ἔπεμψε
Μιτροβάτει καὶ Ἀρνάπει, ὁ δ' ἐν Καλχηδόνι τοῖς παρ'
Ἀλκιβιάδου Εὐρυπτολέμῳ καὶ Διοτίμῳ τόν τε κοινὸν
13 ὅρκον καὶ ἰδίᾳ ἀλλήλοις πίστεις ἐποιήσαντο. Φαρνά-
βαζος μὲν οὖν εὐθὺς ἀπῄει καὶ τοὺς παρὰ βασιλέα
πορευομένους πρέσβεις ἀπαντᾶν ἐκέλευσεν εἰς Κύζι-
κον. Ἐπέμφθησαν δὲ Ἀθηναίων μὲν Δωρόθεος, Φι-
λοδίκης, Θεογένης, Εὐρυπτόλεμος, Μαντίθεος, σὺν

§. 9. A. C. E. Venet. edd. vett. Schneid. I. Schaef. *ἔλαβον καὶ ἔδοσαν*. — Venet. edd. vett. *πρὸς Φαρνάβαζον*. — Schneid. II. cum Koeppenio scribit *οἱ παρὰ βασιλέα* coll. §. 13.

§. 10. Vulg. *τοῖς τε ὅρκοις* cum Wolfio correxit Schneid.; Dind. *τοῖς ὅρκοις*. — B. *Σηλυμβρίαν*. — *κείνην* scripsi cum A. B. C. D. E. edd. vett. excepta Cast. pro *ἐκείνην*.

§. 11. *μέχρι* pro *μέχρις* dedit Dind. cum B. C. E. — *ἔλθοι* Schneid. II. Dind. cum B. C. E. pro *ἔλθῃ*. — *ἐπειδὴ* pro *ἐπεὶ* dedi ex B.

non ad Chalcedonios pertinere videntur, quae vero de Chalcedoniis decernantur, introduci verbis: *καὶ ὅρκους ἔδοσαν καὶ ἔλαβον*, quare verba *ὑπὲρ Καλχηδόνος* interpolata esse censet. Sed, ut ipse vidit V. D., Pharnabazus, foedere pacto, in urbe moratus est, donec legati ad regem missi redirent, quod ei pro illis viginti talentis, ut videtur, concessum est. Ceterum contra Schneiderum recte monuit: ad tempus quidem statui tributum rursus Atheniensibus solvendum esse, at regem tamen simul percontandum fuisse, num in posterum etiam Atheniensibus illud concessurus esset. Itaque neque *ὑπὲρ Καλχηδόνος* nec *πολεμεῖν Καλχηδονίοις* quidquam habent offensionis. Irrito demum legationis successu moti Athenienses urbem occupasse videntur, ex qua pelluntur II, 2, 1.

§. 11. *ἔλθοι*] Codicum C. E. cum B. consensus me movit, ut eam sententiam, quam ad Oecon. XII, 1. protuli, mutarem,

δὲ τούτοις Ἀργεῖοι Κλεόστρατος, Πυῤῥόλοχος· ἐπο-
ρεύοντο δὲ καὶ Λακεδαιμονίων πρέσβεις Πασιππίδας
καὶ ἕτεροι, μετὰ δὲ τούτων καὶ Ἑρμοκράτης ἤδη φεύ-
γων ἐκ Συρακουσῶν καὶ ὁ ἀδελφὸς αὐτοῦ Πρόξενος.
Καὶ Φαρνάβαζος μὲν τούτους ἦγεν, οἱ δὲ Ἀθηναῖοι 14
τὸ Βυζάντιον ἐπολιόρκουν περιτειχίσαντες καὶ πρὸς
τὸ τεῖχος ἀκροβολισμοὺς καὶ προςβολὰς ἐποιοῦντο. Ἐν 15
δὲ τῷ Βυζαντίῳ ἦν Κλέαρχος Λακεδαιμόνιος ἁρμο-
στὴς καὶ σὺν αὐτῷ τῶν περιοίκων τινὲς καὶ τῶν νεο-
δαμωδῶν οὐ πολλοὶ καὶ Μεγαρεῖς καὶ ἄρχων αὐτῶν
Ἕλιξος Μεγαρεὺς καὶ Βοιωτοὶ καὶ τούτων ἄρχων Κοι-
ρατάδας. Οἱ δ' Ἀθηναῖοι ὡς οὐδὲν ἠδύναντο διαπρά- 16
ξασθαι κατ' ἰσχύν, ἔπεισάν τινας τῶν Βυζαντίων προ-
δοῦναι τὴν πόλιν. Κλέαρχος δὲ ὁ ἁρμοστὴς οἰόμενος 17
οὐδένα ἂν τοῦτο ποιῆσαι, καταστήσας δὲ ἅπαντα ὡς
ἠδύνατο κάλλιστα καὶ ἐπιτρέψας τὰ ἐν τῇ πόλει Κοι-
ρατάδᾳ καὶ Ἑλίξῳ διέβη παρὰ τὸν Φαρνάβαζον εἰς
τὸ πέραν, μισθόν τε τοῖς στρατιώταις παρ' αὐτοῦ λη-
ψόμενος καὶ ναῦς ξυλλέξων, αἳ ἦσαν ἐν τῷ Ἑλληςπόντῳ
ἄλλαι καταλελειμμέναι φρουρίδες ὑπὸ Πασιππίδου καὶ
ἐν Ἀντάνδρῳ καὶ ἃς Ἡγησανδρίδας εἶχεν ἐπὶ Θρᾴ-

§. 12. *Μιτροβάτει* Dind. II. III. cum B. D. pro *Μητροβάτει*. — *καὶ* post *ἰδίᾳ* delevit Dind. II. III. cum B. D. Vict.

§. 13. B. *παρὰ βασιλέως*. — B. *μετὰ τούτων*, omissa particula *δέ*.

§. 15. B. *παροίκων*. — A. Ald. Iunt. *νεοδασμωδῶν*; Cast. *νεοδασμοδῶν*.

§. 17. Pro *ἄλλαι* scribere voluit V. D. in Bibl. crit. Amstelod. P. V. p. 92. *πάλαι*, Schaef. Schneid. II. Dind. II. III. scripserunt *ἄλλαι ἄλλῃ*. — B. *Ἀγησανδρίδας*.

quanquam a grammatica ratione bene se habet coniunctivus.

§. 13. ἐπορεύοντο] Ex cap. 4, §. 3. videmus iam antea legatos a Lacedaemoniis ad Persarum regem missos esse, ne, quum Athenienses legati apud regem essent, deessent qui apud eundem rem Lacedaemoniorum tuerentur. Mirum vero est, quod Pasippidas, qui I, 1, 32. exsilio multatus est, h. l. legationis dux, mirum etiam, quod eum comitari Hermocrates dicitur, quem, quum reditum in patriam moliretur, periisse narrat Diodorus XIII, 75.

ἤδη φεύγων ἐκ Συρακουσῶν] Hoc duobus annis ante factum et iam I, 1, 27. narratum est. Fortasse haec verba profecta sunt a librario.

§. 17. ἄλλαι] Osiand. recte: *Schiffe, welche sonst im Hellespont sich befanden.* Dici enim poterat etiam sic: *καὶ ναῦς ξυλλέξων καὶ τὰς ἄλλας, αἳ ἦσαν — καταλελειμμέναι, φρουρίδας — καὶ ἃς — εἶχε.* V. Mehlhorn. Comment. de adiectivorum pro

κης, ἐπιβάτης ὢν Μινδάρου, καὶ ὅπως ἄλλαι ναυπη-
γηθείησαν, ἀθρόαι δὲ γενόμεναι πᾶσαι κακῶς τοὺς
συμμάχους τῶν Ἀθηναίων ποιοῦσαι ἀποσπάσειαν τὸ
18 στρατόπεδον ἀπὸ τοῦ Βυζαντίου. Ἐπεὶ δ' ἐξέπλευσεν
Ol. 92, 4. ὁ Κλέαρχος, οἱ προδιδόντες τὴν πόλιν τῶν Βυζαν-
τίων Κύδων καὶ Ἀρίστων καὶ Ἀναξικράτης καὶ Λυ-
19 κοῦργος καὶ Ἀναξίλαος, ὃς ὑπαγόμενος θανάτου ὕστε-
ρον ἐν Λακεδαίμονι διὰ τὴν προδοσίαν ἀπέφυγεν, ὅτι
οὐ προδοίη τὴν πόλιν, ἀλλὰ σῶσαι, παῖδας ὁρῶν καὶ
γυναῖκας λιμῷ ἀπολλυμένας, Βυζάντιος ὢν καὶ οὐ
Λακεδαιμόνιος· τὸν γὰρ ἐνόντα σῖτον Κλέαρχον τοῖς
Λακεδαιμονίων στρατιώταις διδόναι· διὰ ταῦτ' οὖν
τοὺς πολεμίους ἔφη εἰσέσθαι, οὐκ ἀργυρίου ἕνεκα,
20 οὐδὲ διὰ τὸ μισεῖν Λακεδαιμονίους· ἐπεὶ δὲ αὐτοῖς
παρεσκεύαστο, νυκτὸς ἀνοίξαντες τὰς πύλας τὰς ἐπὶ
τὸ Θρᾴκιον καλουμένας εἰσήγαγον τὸ στράτευμα καὶ
21 τὸν Ἀλκιβιάδην. Ὁ δὲ Ἕλιξος καὶ ὁ Κοιρατάδας
οὐδὲν τούτων εἰδότες ἐβοήθουν μετὰ πάντων εἰς τὴν
ἀγοράν· ἐπεὶ δὲ πάντῃ οἱ πολέμιοι κατεῖχον, οὐδὲν
22 ἔχοντες, ὅ τι ποιήσαιεν, παρέδοσαν σφᾶς αὐτούς. Καὶ
οὗτοι μὲν ἀπεπέμφθησαν εἰς Ἀθήνας, καὶ ὁ Κοιρα-
τάδας ἐν τῷ ὄχλῳ ἀποβαινόντων ἐν Πειραιεῖ ἔλαθεν
ἀποδρὰς καὶ ἀπεσώθη εἰς Δεκέλειαν.

Marg. Leoncl. ὅπως καί. — τοὺς συμμάχους τῶν Ἀθ. pro τοὺς τῶν Ἀθ. συμμ. dedit Dind. II. III. ex B. C. D. E. Vict.; συμμάχους pro ξυμμ. scripsi cum B. C. D. E.

§. 19. Cast. σώσοι, ceterae edd. vett. σῶσαι.

adverbio positorum ratione et usu, p. 11. Kühner. gr. max. §. 685. adn. 2.

ἐπιβάτης ὢν Μινδάρου] Cum Schneidero Poppo ad Thucyd. VIII, 61. ἐπιβάτην dici simpliciter quicunque (eadem) nave vehitur existimat. Quae significatio in hunc locum, ubi Hegesandridas stationi cuidam in Thracia praepositus esse dicitur, non quadrare videtur, nisi statuas Hegesandridam, relicta Thracia, Byzantium venisse et simul cum Clearcho navem conscendisse. Krügerus (Dion. Hal. p. 300.) et Sievers. p. 37. ἐπιβάτην inferioris ordinis ducem, qui vices exciperet ναυάρχου, fuisse putant.

καὶ ὅπως] Portus interserere voluit ἐπιμελησόμενος aut simile verbum, quo non opus est. Iunge: διέβη — μισθόν τε — ληψόμενος καὶ ναῦς ξυλλέξων καὶ (διέβη scil.) ὅπως — ναυπηγηθείησαν.

§. 18. οἱ προδιδόντες] Anacoluthon. Nam quae statim subiungi debebant εἰσήγαγον — Ἀλκιβιάδην propter interpositas enuntiationes sequuntur demum §. 20. Cf. II, 3, 15. III, 2,

CAPUT IV.

ARGUMENTUM.

Redeuntes e Perside Lacedaemoniorum legati quum omnia, quae voluissent, a rege se obtinuisse dicerent, Athenienses quoque se istuc deduci cupiebant; sed diu a Pharnabazo et Cyro lusi tertio demum anno ad suum exercitum reducti sunt. Alcibiades quum animos civium a se non alienos videret seque audisset imperatorem esse creatum, Athenas demigravit ibique summum copiarum Atheniensium imperium demandatum accepit. Hinc profectus est Andrum et Samum.

Φαρνάβαζος δὲ καὶ οἱ πρέσβεις τῆς Φρυγίας ἐν 1
Γορδιδίῳ ὄντες τὸν χειμῶνα τὰ περὶ τὸ Βυζάντιον
πεπραγμένα ἤκουσαν. Ἀρχομένου δὲ τοῦ ἔαρος πο- 2
ρευομένοις αὐτοῖς παρὰ βασιλέα ἀπήντησαν καταβαί- B.P.a.24.
νοντες οἵ τε Λακεδαιμονίων πρέσβεις, Βοιώτιος ὄνομα
καὶ οἱ μετ' αὐτοῦ καὶ οἱ ἄλλοι ἄγγελοι, καὶ ἔλεγον,
ὅτι Λακεδαιμόνιοι πάντων ὧν δέονται πεπραγότες εἶεν
παρὰ βασιλέως, καὶ Κῦρος ἄρξων πάντων τῶν ἐπὶ 3
θαλάττῃ καὶ ξυμπολεμήσων Λακεδαιμονίοις ἐπιστολήν
τε ἔφερε τοῖς κάτω πᾶσι τὸ βασίλειον σφράγισμα
ἔχουσαν, ἐν ᾗ ἐνῆν καὶ τάδε· Καταπέμπω Κῦρον κά-

Cap. IV. §. 1. Dind. III. *Γορδιαίῳ* cum Steph. Byz.
§. 2. Vict. *οἱ καταβαίνοντες.*
§. 3. *σφράγισμα ἔχουσαν* B. D. Vict. Dind. II. III. pro *ἔχουσαν σφράγ.*

21. V, 1, 28. 3, 16. VI, 3, 2. 4, 2. VII, 5, 18.

§. 19. *διδόναι*] De praesentis infinitivo v. ad Oecon. IV, 20. Ages. II, 25. Infra II, 2, 17.

§. 20. *ἐπεὶ δέ*] quum igitur. Particula *δέ*, quam Stephanus delendam censuit, orationem post longiorem parenthesin iam continuari indicat. V. Saupp. ad Comment. IV, 8, 11.

§. 21. *οὐδὲν τούτων εἰδότες*] Audiebant quidem, ut videtur, hostium urbem intrantium tumultum, nesciebant autem Atheniensium exercitu per proditionem totam fere urbem iam esse occupatam; itaque in forum properabant, ut ingredientem hostem, si possent, repellerent. Haec multo uberius et partim aliter narrant Diodor. XIII, 66 seq. et Plutarch. Alcib. 31. V. Praef. p. IX.

Cap. IV. §. 2. *Ἀρχομένου δὲ τοῦ ἔαρος*] anni 408. a. Chr.

§. 3. *καὶ Κῦρος*] scil. *ἀπήντησε.*

τὸ βασίλειον σφράγισμα ἔχουσαν] Cf. VII, 1, 39: *ὁ Πέρσης ὁ φέρων τὰ γράμματα δείξας τὴν βασιλέως σφραγῖδα.*

4 ρανον τῶν εἰς Καστωλὸν ἀθροιζομένων· τὸ δὲ κάρα-
νον ἔστι κύριον. Ταῦτ' οὖν ἀκούοντες οἱ τῶν Ἀθη-
ναίων πρέσβεις καὶ ἐπειδὴ Κῦρον εἶδον, ἐβούλοντο
μὲν μάλιστα παρὰ βασιλέα ἀναβῆναι, εἰ δὲ μή, οἴκαδε
5 ἀπελθεῖν. Κῦρος δὲ Φαρναβάζῳ εἶπεν ἢ παραδοῦναι
Ol. 93, 1. τοὺς πρέσβεις ἑαυτῷ ἢ μὴ οἴκαδέ πω ἀποπέμψαι βου-
λόμενος τοὺς Ἀθηναίους μὴ εἰδέναι τὰ πραττόμενα.
6 Φαρνάβαζος δὲ τέως μὲν κατεῖχε τοὺς πρέσβεις φάσκων
τοτὲ μὲν ἀνάξειν αὐτοὺς παρὰ βασιλέα, τοτὲ δὲ οἴκαδε
7 ἀποπέμψειν, ὡς μηδὲν μέμψηται· ἐπειδὴ δὲ ἐνιαυτοὶ
τρεῖς ἦσαν, ἐδεήθη τοῦ Κύρου ἀφεῖναι αὐτοὺς φάσκων
ὀμωμοκέναι ἀπάξειν ἐπὶ θάλατταν, ἐπειδὴ οὐ παρὰ
βασιλέα. Πέμψαντες δὲ Ἀριοβαρζάνει παρακομίσαι αὐ-
τοὺς ἐκέλευον· ὁ δὲ ἀπήγαγεν εἰς Κίον τῆς Μυσίας,
ὅθεν πρὸς τὸ ἄλλο στρατόπεδον ἀπέπλευσαν.
8 Ἀλκιβιάδης δὲ βουλόμενος μετὰ τῶν στρατιωτῶν
B.P. a.25. ἀποπλεῖν οἴκαδε ἀνήχθη εὐθὺς ἐπὶ Σάμου· ἐκεῖθεν
δὲ λαβὼν τῶν νεῶν εἴκοσιν ἔπλευσε τῆς Καρίας εἰς
9 τὸν Κεραμικὸν κόλπον. Ἐκεῖθεν δὲ συλλέξας ἑκατὸν
τάλαντα ἧκεν εἰς τὴν Σάμον. Θρασύβουλος δὲ σὺν
τριάκοντα ναυσὶν ἐπὶ Θρᾴκης ᾤχετο, ἐκεῖθεν δὲ τά τε

§. 4. Verba *τὸ δὲ κάρ. ἔστι κύριον* spuria censebat Koeppen. — Schneid. II. Dind. I. *μάλιστα μέν*.

§. 6. A. B. *πέμψηται*, C. *μέμψηται*, suprascripto *μέμψοιντο*, quod placuit Weiskio, receptum a Schneid. II. Dind.; Port. malebat *μέμψωνται*; restitui vulg. lectionem.

κάρανον] Cf. Anab. I, 1, 2: *καὶ στρατηγὸν δὲ αὐτὸν ἀπέδειξε πάντων, ὅσοι εἰς Καστωλοῦ πεδίον ἀθροίζονται.* — Heilandio (Quaestt. de Xen. dial. p. 5.) *κάρανος* esse videtur vox dorica, qua usus sit Darius, quod cum Doriensibus loqueretur, quae opinio erat etiam Larcheri et Koeppenii contra Segaarium, qui in epist. ad Valcken. p. 41. locum e lex. ms. protulit: *κατὰ Πέρσας κάρανος, τοῦτ' ἔστι δεσπότης· τῇ δὲ Σύρῳ διαλέκτῳ ἀνδρεῖος πολεμιστής, δυνατώτατος.*

§. 6. *ὡς μηδὲν μέμψηται*] scil. Cyrus. Haec lectio, ut a codicibus tuta est, ita propter sensum postulatur. Nam Pharnabazus eo, quod modo ad regem se legatos Athenienses ducturum, modo in patriam dimissurum esse dicebat, neque hoc neque illud faciens, illorum vituperationem evitare nequaquam potuit, potuit vero hac re Cyro satisfacere. De coniunctivo v. ad I, 1, 4.

§. 7. *ἐπειδὴ δὲ ἐνιαυτοὶ τρεῖς ἦσαν*] i. e. non post tres plenos annos, sed tertio anno, postquam iter ingressi sunt legati, qui annus est 407. a. Chr. Ex §. 19., ubi Euryptolemus commemoratur, unus ex illis legatis (I, 3, 13.), coniicere licet hos iam ante Alcibiadem Athe-

ἄλλα χωρία τὰ πρὸς Λακεδαιμονίους μεθεστηκότα κα-
τεστρέψατο καὶ Θάσον ἔχουσαν κακῶς ὑπό τε τῶν πο-
λέμων καὶ στάσεων καὶ λιμοῦ. Θράσυλλος δὲ σὺν τῇ 10
ἄλλῃ στρατιᾷ εἰς Ἀθήνας κατέπλευσε· πρὶν δὲ ἥκειν
αὐτόν, οἱ Ἀθηναῖοι στρατηγοὺς εἵλοντο Ἀλκιβιάδην
μὲν φεύγοντα καὶ Θρασύβουλον ἀπόντα, Κόνωνα δὲ
τρίτον ἐκ τῶν οἴκοθεν. Ἀλκιβιάδης δ' ἐκ τῆς Σάμου 11
ἔχων τὰ χρήματα κατέπλευσεν εἰς Πάρον ναυσὶν εἴ-
κοσιν, ἐκεῖθεν δ' ἀνήχθη εὐθὺ Γυθείου ἐπὶ κατασκοπῇ
τῶν τριήρων, ἃς ἐπυνθάνετο Λακεδαιμονίους αὐτόθι
παρασκευάζειν τριάκοντα, καὶ τοῦ οἴκαδε κατάπλου
ὅπως ἡ πόλις πρὸς αὐτὸν ἔχει. Ἐπεὶ δ' ἑώρα ἑαυ- 12
τῷ εὔνουν οὖσαν καὶ στρατηγὸν αὐτὸν ᾑρημένους καὶ
ἰδίᾳ μεταπεμπομένους τοὺς ἐπιτηδείους, κατέπλευσεν
εἰς τὸν Πειραιᾶ ἡμέρᾳ, ᾗ Πλυντήρια ἦγεν ἡ πόλις,
τοῦ ἕδους κατακεκαλυμμένου τῆς Ἀθηνᾶς, ὅ τινες
οἰωνίζοντο ἀνεπιτήδειον εἶναι καὶ αὐτῷ καὶ τῇ πόλει·
Ἀθηναίων γὰρ οὐδεὶς ἐν ταύτῃ τῇ ἡμέρᾳ οὐδενὸς
σπουδαίου ἔργου τολμῆσαι ἂν ἅψασθαι. Καταπλέον- 13
τος δ' αὐτοῦ, ὅ τε ἐκ τοῦ Πειραιῶς καὶ ὁ ἐκ τοῦ
ἄστεος ὄχλος ἠθροίσθη πρὸς τὰς ναῦς θαυμάζοντες

§. 11. C. E. Venet. Vict. marg. Steph. ἐπὶ κατασκοπήν. — τριήρων B. D. E. Schneid. II. Dind. pro τριηρέων. — B. ὅπερ pro ὅπως. — ἔχει B. C. E. Schneid. II. Dind. pro ἔχοι.

§. 12. B. δ' ἑώραν.

nas rediisse, quod, teste Plutarcho Alc. 34., factum est Thargelionis die XXV, i. e. Iunii mensis die septimo decimo. Accurate haec exponit Herbst. (*die Rückkehr des Alcibiades* p. 60 seq.) V. Clinton. Fast. Hell. 407. Haackius et Sieversius Alcibiadis reditum anno 408. assignant.

πρὸς τὸ ἄλλο στρατόπεδον] Brevius dictum pro: πρὸς τοὺς ἄλλους Ἀθηναίους ἐν τῷ στρατοπέδῳ, quare supersedere possumus Brückneri (*Zeitschr. f. A.-W.* 1839. no. 50.) coniectura: πρὸς τὸ Ἀθηναίων στρατόπεδον.

§. 8. Ἀλκιβιάδης] Novi anni exordium hic non, uti solet, Xenophon indicat, quoniam temporis ratio e verbis ἐπειδὴ δὲ ἐνιαυτοὶ τρεῖς ἦσαν facile intelligitur.

§. 11. καὶ τοῦ — κατάπλου ὅπως — ἔχει] et quem sensum civitas haberet de eius in patriam restitutione. WEISKIUS.

§. 12. ᾑρημένους] Ex antecedenti πόλις intellige τοὺς πολίτας.

ἀνεπιτήδειον] Plutarch. Alc. 34: οὐ φιλοφρόνως οὖν, οὐδ' εὐμενῶς ἐδόκει προσδεχομένη τὸν Ἀλκιβιάδην ἡ θεὸς παρακαλύπτεσθαι καὶ ἀπελαύνειν ἑαυτῆς.

καὶ ἰδεῖν βουλόμενοι τὸν Ἀλκιβιάδην, λέγοντες οἱ μὲν,
ὡς κράτιστος εἴη τῶν πολιτῶν καὶ μόνος ἀπελογήθη,
ὡς οὐ δικαίως φύγοι, ἐπιβουλευθεὶς δὲ ὑπὸ τῶν ἔλατ-
τον ἐκείνου δυναμένων μοχθηρότερόν τε λεγόντων καὶ
πρὸς τὸ αὐτῶν ἴδιον κέρδος πολιτευόντων, ἐκείνου
ἀεὶ τὸ κοινὸν αὔξοντος καὶ ἀπὸ τῶν αὐτοῦ καὶ ἀπὸ
14 τοῦ τῆς πόλεως δυνατοῦ, ἐθέλοντος δὲ τότε κρίνεσθαι
παραχρῆμα, τῆς αἰτίας ἄρτι γεγενημένης ὡς ἠσεβηκό-
τος εἰς τὰ μυστήρια, ὑπερβαλλόμενοι οἱ ἐχθροὶ τὰ δο-
κοῦντα δίκαια εἶναι ἀπόντα αὐτὸν ἐστέρησαν τῆς πα-
15 τρίδος· ἐν ᾧ χρόνῳ ὑπὸ ἀμηχανίας δουλεύων ἠναγκάσθη

§. 13. In codd. et ante Morum in edd. *ὅτι οἱ μὲν ὡς*, ante Dind. *οἱ μὲν ὅτι ὡς* legebatur. — Vocabulo *μόνος* asterisco addito Dind. III. lacunam indicat. — Ante Steph. edebatur *ἀπηγγέλθη*; *ἀπελογήθη* est in B. C. D. Vict. — Marg. Steph. *μοχθηρότερα*. — *δὲ* post *ἐκείνου*, quod primus delevit Morus, om. B. D. Iunt. Bryl. — Ante Weiskium et Dind. legebatur *τό τε κοινόν*, quod retinuit Schneid., seclusit Schaef. — Iunt. Bryl. *καὶ τοῦ τῆς π.*

§. 14. Schneid. II. Dind. *ὑπερβαλόμενοι.*

§. 16. Leoncl. Zeun. *τὸν οἷόσπερ αὐτὸς ὄντα*; Weisk. *τοὺς*

§. 13. *οἱ μέν*] His respondent *οἱ δέ* §. 17. De appositione partitiva v. ad II, 1, 4.

ἀπελογήθη] Causam quidem in concione dicit demum §. 20., sed rebus gestis suis iam tum, ea erat plebis sententia, comprobaverat se immerito fuisse expulsum.

ἐπιβουλευθεὶς δέ] scil. *φύγοι.*

μοχθηρότερόν τε λεγόντων] qui operosius dicerent, i. e., ut recte vertit Leonclavius, qui inferiores dicendo fuerint. Schneider. frustra suspicatur scriptum fuisse *μοχθηροτέρων δὲ καὶ — κέρδος λεγόντων καὶ πολιτευόντων.*

ἀπὸ τοῦ τῆς πόλεως δυνατοῦ] Haec verba varie ab interpretibus vexata nulla indigent correctione. *δυνατόν* significare vires non solum ex usitatissimis dictionibus, *εἰς τὸ δυνατόν, κατὰ τὸ δυνατόν, ἐκ τοῦ δυνατοῦ*, sed maxime ex iis locis cognoscitur, ubi dativus vel genitivus additus est. Cf. I, 6, 7. *κατὰ — τὸ αὐτῷ δυνατόν*, §. 14. *εἰς τὸ ἐκείνου δυνατόν*, i. e. pro illius viribus. Quidni igitur dicere liceat *ἀπὸ τοῦ τῆς πόλεως δυνατοῦ*, i. e. ex reipublicae viribus sive opibus? Weiskius correxit *ἀπὸ τῶν τῆς πόλεως ἐκ τοῦ δυνατοῦ*, Schneiderus *καὶ ἀπὸ τῆς πόλεως δυνατοῦ* (intellecto *ὄντος*), Brücknerus *καὶ ἀπὸ τῆς πόλεως ὡς δυνατόν.*

§. 14. *τῆς αἰτίας*] Formulam accusationis vide apud Plutarch. Alc. 22.

ὑπερβαλλόμενοι] Praesens tempus, suadente Sauppio, revocavi. Verte: differendo. Distulerunt causam, quamvis postularet Alcibiades, ut statim ageretur. Kühner. gr. schol. §. 312. 4. e.

§. 16. *εἶναι*] Addito hoc vocabulo mutandi rationes irritae factae sunt omnes.

ὑπάρχειν μὲν γὰρ ἐκ τοῦ δήμου αὐτῷ] Cum Reizio Schneiderus *ὑπάρχειν* accipit eo sensu, ut sit: populum ita de eo existimasse, quod illa verba significare nullo modo possunt. Neque vero Morus recte vertit: a populo ei contigisse. Nam

μὲν θεραπεύειν τοὺς ἐχθίστους, κινδυνεύων ἀεὶ παρ' ἑκάστην ἡμέραν ἀπολέσθαι· τοὺς δὲ οἰκειοτάτους πολίτας τε καὶ ξυγγενεῖς καὶ τὴν πόλιν ἅπασαν ὁρῶν ἐξαμαρτάνουσαν οὐκ εἶχεν ὅπως ὠφελοίη φυγῇ ἀπειργόμενος· οὐκ ἔφασαν δὲ τῶν οἵωνπερ αὐτὸς ὄντων εἶ- 16
ναι καινῶν δεῖσθαι πραγμάτων, οὐδὲ μεταστάσεως· ὑπάρχειν μὲν γὰρ ἐκ τοῦ δήμου αὐτῷ μὲν τῶν τε ἡλικιωτῶν πλέον ἔχειν τῶν τε πρεσβυτέρων μὴ ἐλαττοῦσθαι, τοῖς δ' αὐτοῦ ἐχθροῖς τοιούτοις δοκεῖν εἶναι οἵοιςπερ πρότερον, ὕστερον δὲ δυνασθεῖσιν ἀπολλύναι τοὺς βελτίστους, αὐτοὺς δὲ μόνους λειφθέντας δι' αὐτὸ

οἵονπερ αὐτὸν ὄντας; Schneid. revocavit vulg. τῶν οἵωνπερ αὐτὸς ὄντων, sed praeferebat τὸν οἷόνπερ αὐτὸν ὄντα coll. II, 3, 25.; εἶναι addidit ex B. Dind. II. III. — μὲν post ὑπάρχειν delevit Dind. II. III. cum Vict. — αὐτῷ pro ἑαυτῷ restituit Schneid. — C. E. om. τε ante ἡλικιωτῶν. — τῶν τε πρεσβ. pro καὶ τῶν πρεσβ. dedit Dind. II. III. ex B. C. D. E. Y. — Vulg. τοιοῦτος — οἷος correxit Morus. — Weisk. e Wolfii coniectura πρότερον, δυνασθεῖσιν — βελτίστους, ὕστερον δὲ αὐτοὺς μόνους; Schneid. cum Reizio πρότερον, ὕστερον δὲ delenda censet.

qua tandem ratione fiat, ut quis populi beneficio (sic Leoncl.) aequalibus sit superior, grandioribus natu non inferior? Itaque apparet ἐκ τοῦ δήμου non cum ὑπάρχειν iungendum esse, sed cum verbis τῶν — ἡλικιωτῶν — τῶν πρεσβυτέρων. Sententia enim haec est: contigisse ei (i. e. talibus eum uti ingenii facultatibus), ut ex populo (sive populi) et aequalibus superior et maioribus natu non inferior esset. De hoc usu praepositionis ἐκ vix est quod relegemus ad Kühner. gr. schol. §. 288, 2, 3. b. Verborum αὐτῷ μὲν collocatio nihil habet offensionis, immo αὐτῷ, in quo vocabulo maxima vis est, sic apte positum videtur; μὲν autem post ὑπάρχειν revocavi. Fortasse Xenophon sententiam ita exorsus est in mente habens alterum enuntiationis membrum sic conformatum: ἀλλ' οὐχ ὑπάρχειν τοῖς αὐτοῦ ἐχθροῖς. Quum vero αὐτῷ μὲν mox intulisset, mutata structurae ratione, alterum enuntiatum incepit per τοῖς δ' — ἐχθροῖς. V. ad Oecon. IV, 17. Ages. V, 6., maxime ad Hier. III, 7. Kühner. ad Comment. I, 1, 1. Saupp. ad Comment. I, 2, 2. Si autem alterutrum μὲν h. l. ferri non posset, posterius potius eiiciendum censerem, quod interpolari poterat propter desideratam concinnitatem, quam in μὲν — δὲ particularum collocatione saepissime negligi notum est. V. ad Hier. I, 9. et III, 8.

τοῖς δ' αὐτοῦ ἐχθροῖς] Referendum ad ὑπάρχειν, ex quo repetendum est tale quid: οὐκ ἄλλο τι λοιπὸν εἶναι ἤ.

οἵοιςπερ πρότερον] Plebis sententia haec est: Alcibiades virtutibus suis potentiam sibi conciliat; eius adversariis nihil reliquum est, nisi tales videri, quales antea, i.e. specie quadam virtutis fallere cives, quum omnium virtutum re vera expertes sint.

δυνασθεῖσιν] i.e. quoniam possent, sive quoniam potentiam in civitate adeptiessent. De forma ἐδυνάσθην v. Bornemannum ad Cyrop. I, 1, 5. ed. Goth.

αὐτοὺς — λειφθέντας]

τοῦτο ἀγαπᾶσθαι ὑπὸ τῶν πολιτῶν, ὅτι ἑτέροις βελ-
17 τίοσιν οὐκ εἶχον χρῆσθαι· οἱ δέ, ὅτι τῶν παροιχομέ-
νων αὐτοῖς κακῶν μόνος αἴτιος εἴη, τῶν τε φοβερῶν
ὄντων τῇ πόλει γενέσθαι μόνος κινδυνεύσαι ἡγεμὼν
18 καταστῆναι. Ἀλκιβιάδης δὲ πρὸς τὴν γῆν ὁρμισθεὶς
ἀπέβαινε μὲν οὐκ εὐθέως, φοβούμενος τοὺς ἐχθρούς·
ἐπαναστὰς δὲ ἐπὶ τοῦ καταστρώματος ἐσκόπει τοὺς
19 αὐτοῦ ἐπιτηδείους, εἰ παρείησαν. Κατιδὼν δὲ Εὐρυ-
πτόλεμον τὸν Πεισιάνακτος, αὐτοῦ δὲ ἀνεψιόν, καὶ
τοὺς ἄλλους οἰκείους καὶ τοὺς φίλους μετ' αὐτῶν,
τότε ἀποβὰς ἀναβαίνει εἰς τὴν πόλιν μετὰ τῶν παρε-
20 σκευασμένων, εἴ τις ἅπτοιτο, μὴ ἐπιτρέπειν. Ἐν δὲ τῇ
βουλῇ καὶ τῇ ἐκκλησίᾳ ἀπολογησάμενος, ὡς οὐκ ἠσε-
βήκει, εἰπὼν δὲ, ὡς ἠδίκηται, λεχθέντων δὲ καὶ ἄλλων
τοιούτων, καὶ οὐδενὸς ἀντειπόντος διὰ τὸ μὴ ἀνα-
σχέσθαι ἂν τὴν ἐκκλησίαν, ἀναῤῥηθεὶς ἁπάντων ἡγε-
μὼν αὐτοκράτωρ, ὡς οἷός τε ὢν σῶσαι τὴν προτέραν
τῆς πόλεως δύναμιν, πρότερον μὲν τὰ μυστήρια τῶν
Ἀθηναίων κατὰ θάλατταν ἀγόντων διὰ τὸν πόλεμον,
κατὰ γῆν ἐποίησεν ἐξαγαγὼν τοὺς στρατιώτας ἅπαν-
21 τας· μετὰ δὲ ταῦτα κατελέξατο στρατιάν, ὁπλίτας μὲν
πεντακοσίους καὶ χιλίους, ἱππεῖς δὲ πεντήκοντα καὶ
Ol. 93,2. ἑκατόν, ναῦς δ' ἑκατόν. Καὶ μετὰ τὸν κατάπλουν τρίτῳ
μηνὶ ἀνήχθη ἐπ' Ἄνδρον ἀφεστηκυῖαν τῶν Ἀθηναίων,
καὶ μετ' αὐτοῦ Ἀριστοκράτης καὶ Ἀδείμαντος ὁ Λευ-

§. 17. Edd. vett. *κινδυνεῦσαι.*

§. 19. B. C. D. Y. *αὐτοῦ δέ*; *αὐτοῦ* Vict.; ante Dind. II. scribebatur *ἑαυτοῦ.*

§. 21. Cum Clintonio (Fast. Hell. 407.) Sievers. (Comm. hist. p. 82.) scribendum censet *τετάρτῳ μηνί.* — Ante Schneid. scri-

Antea erant dativi. De utroque casu coniuncto v. Kühner. gr. max. §. 648. b. sub finem.

§. 17. *τῶν τε φοβερῶν ὄντων τῇ πόλει γενέσθαι*] earum rerum, quae ne civitati acciderent timebatur. Cf. Hier. VI, 15: *φοβερὸς δὲ, μὴ ἀνήκεστόν τι ποιήσῃ*, ubi v. adn. V. Kühner. gr. schol. §. 329. adn. 4. Buttm. gr. §. 152, 7. d. Rost. gr. schol. § 184, 3.

ἡγεμών] i. e. auctor. Cf. Cyrop. I, 2, 7. 5, 12: *πόνους δὲ τοῦ ζῆν ἡδέως ἡγεμόνας νομίζετε.* Cf. Comment. III, 2, 3.

§. 20. *σῶσαι τὴν προτέραν τῆς πόλεως δύναμιν*] quasi adhuc in discrimine, non iam amissa fuisset potentia. Licet etiam duas sententias in unam confufas agnoscere: *σῶσαι τὴν πόλιν* et *ἀποκαταστῆσαι τὴν προτέραν τῆς πόλεως δύναμιν.*

πρότερον μέν] Ex quo De-

κολοφίδου συνεπέμφθησαν ᾑρημένοι κατὰ γῆν στρατηγοί. Ἀλκιβιάδης δὲ ἀπεβίβασε τὸ στράτευμα τῆς Ἀν- 22
δρίας χώρας εἰς Γαύρειον· ἐκβοηθήσαντας δὲ τοὺς Ἀνδρίους ἐτρέψαντο καὶ κατέκλεισαν εἰς τὴν πόλιν καί τινας ἀπέκτειναν οὐ πολλοὺς καὶ τοὺς Λάκωνας, οἳ αὐτόθι ἦσαν. Ἀλκιβιάδης δὲ τρόπαιόν τε ἔστησε 23
καὶ μείνας αὐτοῦ ὀλίγας ἡμέρας ἔπλευσεν εἰς Σάμον κἀκεῖθεν ὁρμώμενος ἐπολέμει.

CAPUT V.

ARGUMENTUM.

Lacedaemonii interim Persarum opibus adiuti ad bellum Lysandro duce se instruebant, classe ad Ephesum subducta. Iam quum Alcibiades Notium profectus a navibus discessisset, Antiochi temeritate Athenienses infelici pugna quindecim naves amiserunt. Id quum Alcibiadis culpae domi tribuerent, in eius locum suffectus est Conon.

Οἱ δὲ Λακεδαιμόνιοι πρότερον τούτων οὐ πολ- 1
λῷ χρόνῳ, Κρατησιππίδᾳ τῆς ναυαρχίας παρεληλυθυίας, Λύσανδρον ἐξέπεμψαν ναύαρχον. Ὁ δὲ ἀφικόμενος εἰς Ῥόδον καὶ ναῦς ἐκεῖθεν λαβὼν εἰς Κῶ

bebatur *Λευκοροφείδου*; *Λευκολοφίδου* est in B. F. — E. om. *οἱ ᾑρημένοι*; *οἱ* omisi cum B. C. Vict.

§. 22. *καὶ* ante *τοὺς Λακ.* om. A. edd. vett.

Cap. V. §. 1. A. B. *ναυμαχίας* pro *ναυαρχίας*. — Marg. Leoncl. *Κῶν*.

celia a Lacedaemoniis occupata tenebatur.

§. 21. *τρίτῳ μηνί*] Mense Septembri. Sed mysteria quae Alcibiades terra deducenda suscepit Eleusina die vicesimo Boedromionis mensis, i. e. Octobris die decimo, agebantur. Commoratus igitur esse Athenis ille prope quattuor menses videtur. Cf. adn. ad §. 7. V. Clinton. l. d.

ᾑρημένοι] Quotannis deni praetores ab Atheniensibus creabantur, qui classibus et exercitibus praeessent. Tum autem, auctore Diodoro XIII, 72., reliqui copiarum pedestrium duces Athenis remanebant cum Agide bellum gesturi, duo, Aristocrates et Adimantus, cum Alcibiade emissi sunt. Hanc ob causam, suadente Hertlinio, articulum *οἱ* ante *ᾑρημένοι* delevi.

Cap. V. §. 1. *πρότερον τούτων*] Aequinoctio auctu-

καὶ Μίλητον ἔπλευσεν, ἐκεῖθεν δ' εἰς Ἔφεσον, καὶ ἐκεῖ ἔμεινε ναῦς ἔχων ἑβδομήκοντα, μέχρι οὗ Κῦρος
2 εἰς Σάρδεις ἀφίκετο. Ἐπεὶ δὲ ἧκεν, ἀνέβη πρὸς αὐτὸν σὺν τοῖς ἐκ Λακεδαίμονος πρέσβεσιν. Ἐνταῦθα δὴ κατά τε τοῦ Τισσαφέρνους ἔλεγον ἃ πεποιηκὼς εἴη, αὐτοῦ τε Κύρου ἐδέοντο ὡς προθυμοτάτου πρὸς
3 τὸν πόλεμον γενέσθαι. Κῦρος δὲ τόν τε πατέρα ἔφη ταῦτα ἐπεσταλκέναι καὶ αὐτὸς οὐκ ἄλλ' ἐγνωκέναι, ἀλλὰ πάντα ποιήσειν· ἔχων δὲ ἥκειν τάλαντα πεντακόσια· ἐὰν δὲ ταῦτα ἐκλίπῃ, τοῖς ἰδίοις χρήσεσθαι ἔφη, ἃ ὁ πατὴρ αὐτῷ ἔδωκεν· ἐὰν δὲ καὶ ταῦτα, καὶ τὸν θρόνον κατακόψειν, ἐφ' οὗ ἐκάθητο, ὄντα ἀργυ-
4 ροῦν καὶ χρυσοῦν. Οἱ δὲ ταῦτ' ἐπῄνουν καὶ ἐκέλευον αὐτὸν τάξαι τῷ ναύτῃ δραχμὴν Ἀττικὴν διδάσκοντες, ὅτι, ἂν οὗτος ὁ μισθὸς γένηται, οἱ τῶν Ἀθηναίων ναῦται ἀπολείψουσι τὰς ναῦς, καὶ μείω χρήματα ἀνα-
5 λώσει. Ὁ δὲ καλῶς μὲν ἔφη αὐτοὺς λέγειν, οὐ δυνατὸν δ' εἶναι παρ' ἃ βασιλεὺς ἐπέστειλεν αὐτῷ ἄλλα ποιεῖν. Εἶναι δὲ καὶ τὰς συνθήκας οὕτως ἐχούσας,

μέχρι B. Dind. II. III., antea μέχρις.
§. 2. Dind. II. III. ἐπεὶ δ' ἧκεν. — B. Y. marg. Steph. σὺν τοῖς Λακεδαιμονίοις.
§. 3. ἐφ' οὗ Dind. II. III. cum B. C. E. Y. Vict. pro ἐφ' ᾧ.
§. 4. Cast. ἐκέλευσαν pro ἐκέλευον. — ὅτι om. Ald. Iunt. Bryl.
§. 5. Codd. cum edd. ante Steph. ἀπέστειλεν. — Vict. ἂν βούλοιντο.
§. 7. προοφειλόμενον pro προςοφ. ex marg. Leoncl. reposuit Schneid. — καὶ ἔτι μηνὸς προέδωκε om. Vict.; Lennep. ad Phalar. p. 356. corrigit προςέδωκε.

mnali, quo tempore Spartanorum magistratus munus auspicabantur. V. Manso *Sparta*, II. p. 379. Müller. *Dor.* II. p. 125. Sed ναύαρχοι, etsi auctumno cum ceteris magistratibus designabantur, classem tamen suscipere solebant vere. Sic Mindarus (Thucyd. VIII, 85.) Astyocho mense Aprili successit. Hoc autem loco, ut ex verbis πρότερον τούτων οὐ πολλῷ χρόνῳ intelligitur, narrantur quae ante Alcibiadis reditum et deinceps per annum 407. facta sunt. V. Herbst. l. d. p. 60.

§. 2. ἐκ Λακεδαίμονος] Λακεδαιμονίοις eius esse videtur, qui prohibere voluit, ne quis hos legatos, qui a rege redeunt I, 4, 2., nunc primum Lacedaemone missos putaret.

§. 4. καὶ μείω χρήματα ἀναλώσει] celerius nempe finito bello.

§. 6. ὅτι] introducit orationem rectam. V. ad Oecon. XII, 20. Rost. gr. schol. §. 184. adn. 5. Kühner. gr. schol. §. 329. adn. 3. Buttm. §. 139. G. adn. 4.

§. 9. μηδὲ οἵτινες] Eo vulgata et optimorum librorum

τριάκοντα μνᾶς ἑκάστῃ νηῒ τοῦ μηνὸς διδόναι, ὁπό-
σας ἂν βούλωνται τρέφειν Λακεδαιμόνιοι. Ὁ δὲ Λύ- 6
σανδρος τότε μὲν ἐσιώπησε· μετὰ δὲ τὸ δεῖπνον, ἐπεὶ
αὐτῷ προπιὼν ὁ Κῦρος ἤρετο, τί ἂν μάλιστα χαρί-
ζοιτο ποιῶν, εἶπεν, ὅτι εἰ πρὸς τὸν μισθὸν ἑκάστῳ
ναύτῃ ὀβολὸν προςθείης. Ἐκ δὲ τούτου τέτταρες ὀβο- 7
λοὶ ἦν ὁ μισθός, πρότερον δὲ τριώβολον. Καὶ τόν τε
προοφειλόμενον ἀπέδωκε καὶ ἔτι μηνὸς προέδωκεν,
ὥςτε τὸ στράτευμα πολὺ προθυμότερον εἶναι. Οἱ δὲ 8
Ἀθηναῖοι ἀκούοντες ταῦτα ἀθύμως μὲν εἶχον, ἔπεμ-
πον δὲ πρὸς τὸν Κῦρον πρέσβεις διὰ Τισσαφέρνους.
Ὁ δὲ οὐ προςεδέχετο, δεομένου Τισσαφέρνους καὶ λέ- 9
γοντος, ἅπερ αὐτὸς ἐποίει πεισθεὶς ὑπ᾿ Ἀλκιβιάδου,
σκοπεῖν, ὅπως τῶν Ἑλλήνων μηδὲ οἵτινες ἰσχυροὶ ὦσιν,
ἀλλὰ πάντες ἀσθενεῖς αὐτοὶ ἐν ἑαυτοῖς στασιάζοντες.
Καὶ ὁ μὲν Λύσανδρος, ἐπεὶ αὐτῷ τὸ ναυτικὸν συν- 10
τέτακτο, ἀνελκύσας τὰς ἐν τῇ Ἐφέσῳ οὔσας ναῦς
ἐνενήκοντα ἡσυχίαν ἦγεν, ἐπισκευάζων καὶ ἀναψύχων
αὐτάς. Ἀλκιβιάδης δὲ ἀκούσας Θρασύβουλον ἔξω Ἑλ- 11

§. 9. ὅπερ pro ἅπερ mavult Schneid. — Ante Schneid. II. vulg. erat μηδὲν οἵτινες, quod habent A. C. E. F.; B. οἵτινες (om. μηδὲν); D. μηδὲ εἴ τινες; Bryl. Cast. μηδέ τινες; margg. Leoncl. Steph. II. μηδένες, quod recepit Schneid. II.; Dind. I. cum Wolfio μηδένες τινές; μηδὲ οἵτινες, quod est in marg. Steph. I. et in tribus codd., quos Dind. II. suos vocat, dederunt Dind. II. III.

§. 10. συντέτακτο B. D. E.; antea edebatur συνετέτακτο. — οὔσας ναῦς B. C. D. E. Vict. Dind. II. III. pro ναῦς οὔσας. — ἐνενήκοντα B. D. Dind. pro ἐννεν.

§. 11. Dind. III. ἐξ Ἑλληςπόντου, quod idem necessarium videbatur Schneidero.

scripturae ducunt. Dindorfius comparat Plat. Leg. XI. p. 919. D: μήτε κάπηλος ἑκὼν μηδ᾿ ἄκων μηδεὶς γιγνέσθω μήτ᾿ ἔμπορος μήτε διακονίαν μηδ᾿ ἥντινα κεκτημένος. Praeter hunc alios locos affert Matth. gr. §. 483. b.

§. 10. συντέτακτο] Plusquamperfectum apud Xenophontem haud raro augmento carere docent Bornemannus ad Anab. IV, 5, 15., Poppo ad Cyrop. III, 2, 24., Sauppius ad Comment. I, 2, 64. Infra II, 2, 11. ἐπιλελοίπει, excepto B, omnes praebent codices. I, 6, 38. ipse Dindorfius servavit ἀποδεδράκεσαν, IV, 1, 3. ἀναβεβήκει.

§. 11. ἔξω] Infra I, 6, 20: ἐξέπλευσαν ἔξω τοῦ λιμένος. IV, 8, 28: ἀπέπλει ἔξω τοῦ Ἑλληςπόντου. Anab. V, 1, 15: ἀποδρὰς ᾤχετο ἔξω τοῦ πόντου. 7, 15: οἴχεσθαι ἔξω τοῦ πόντου, et alia, quae vulgatam scripturam tuentur, in Sturz. lex. Xen. Pertinent haec ad eum usum, quo ποῦ et ποῖ, οὗ et οἷ inter se commutantur, de quo v. ad II, 3, 54.

λησπόντου ἥκοντα τειχίζειν Φώκαιαν διέπλευσε πρὸς αὐτόν, καταλιπὼν ἐπὶ ταῖς ναυσὶν Ἀντίοχον τὸν αὐτοῦ κυβερνήτην, ἐπιστείλας μὴ ἐπιπλεῖν ἐπὶ τὰς Λυ-
12 σάνδρου ναῦς. Ὁ δὲ Ἀντίοχος τῇ τε αὐτοῦ νηῒ καὶ ἄλλῃ ἐκ Νοτίου εἰς τὸν λιμένα τῶν Ἐφεσίων εἰσπλεύσας παρ' αὐτὰς τὰς πρῴρας τῶν Λυσάνδρου νεῶν
13 παρέπλει. Ὁ δὲ Λύσανδρος τὸ μὲν πρῶτον ὀλίγας τῶν νεῶν καθελκύσας ἐδίωκεν αὐτόν, ἐπεὶ δὲ οἱ Ἀθηναῖοι τῷ Ἀντιόχῳ ἐβοήθουν πλείοσι ναυσί, τότε δὴ καὶ πάσας ξυντάξας ἐπέπλει. Μετὰ δὲ ταῦτα καὶ οἱ Ἀθηναῖοι ἐκ τοῦ Νοτίου καθελκύσαντες τὰς λοιπὰς τριή-
14 ρεις ἀνήχθησαν, ὡς ἕκαστος ἤνοιξεν. Ἐκ τούτου δ' ἐναυμάχησαν οἱ μὲν ἐν τάξει, οἱ δὲ Ἀθηναῖοι διεσπαρμέναις ταῖς ναυσί, μέχρι οὗ ἔφυγον ἀπολέσαντες πεντεκαίδεκα τριήρεις. Τῶν δὲ ἀνδρῶν οἱ μὲν πλεῖστοι ἐξέφυγον, οἱ δ' ἐζωγρήθησαν. Λύσανδρος δὲ τάς τε ναῦς ἀναλαβὼν καὶ τρόπαιον στήσας ἐπὶ τοῦ Νοτίου διέπλευσεν εἰς Ἔφεσον, οἱ δ' Ἀθηναῖοι εἰς Σάμον.
15 Μετὰ δὲ ταῦτα Ἀλκιβιάδης ἐλθὼν εἰς Σάμον ἀνήχθη

Krüger. Dion. Halic. p. 342. *περιτειχίζειν* legendum censet, quod probat Sievers. Comm. hist. p. 84.

§. 13. Iunt. *ἁπάσας*.

§. 14. *μέχρι* B. Dind. II. III. pro *μέχρις*.

§. 15. *εἴ τι* pro *εἴ τις* maluit Köppen. — *ἐπειδὴ* B. D. Dind. III. pro *ἐπεί*. — Weiskius scribendum censuit *Τηΐους*, Sievers.

τειχίζειν] Phocaeam ad Lacedaemonios descivisse significare videtur Thucyd. VIII, 31., eamque posthac in Spartanorum ditione fuisse inde patet, quod post pugnam ad Arginusas factam pars eorum eo confugisse refertur infra I, 6, 34. Praeterea Thrasybul. exercitu suo abusum esse, ut non magni momenti urbem communiret, non admodum probabile videtur; nec perspicitur, cur Alcibiades operis spectator esse voluerit, classis imperio Antiochi temeritati relicto. Contra, si Phocaea oppugnata fuerit, commode auxilia adduxerit. Haec Krügerus l. d., cui assentior. *τειχίζειν* nusquam est circumvallare, oppugnare.

§. 13. *καὶ πάσας*] Morus propter *καί*, ut videtur, emendat *αὐτὸς πάσας*, quod valde placet Schneidero, quanquam notissimum est *καὶ* particulam saepe vim adverbiorum et adiectivorum quorundam, velut *μάλα, πάνυ, πᾶς, πολύς*, intendere atque augere. V. ad Oecon. II, 3. Herbst. ad Comment. I, 3, 13. Symp. II, 25.

ἤνοιξεν] De hoc verbo v. adn. ad I, 1, 2.

§. 15. *εἴ τις*] *wenn man.* V. infra II, 2, 16. Kühner. gr. max. §. 633, 2.

Ἠϊόνα] Diodorus XIII, 76. Eïona, Thraciae oppidum, non memorat a Lacedaemoniis captum, memorat vero praeter Delphi-

ταῖς ναυσὶν ἁπάσαις ἐπὶ τὸν λιμένα τῶν Ἐφεσίων καὶ
πρὸ τοῦ στόματος παρέταξεν, εἴ τις βούλοιτο ναυμα-
χεῖν. Ἐπειδὴ δὲ Λύσανδρος οὐκ ἀντανήγαγε διὰ τὸ
πολλαῖς ναυσὶν ἐλαττοῦσθαι, ἀπέπλευσεν εἰς Σάμον.
Λακεδαιμόνιοι δὲ ὀλίγῳ ὕστερον αἱροῦσι Δελφίνιον
καὶ Ἠϊόνα. Οἱ δὲ ἐν οἴκῳ Ἀθηναῖοι, ἐπειδὴ ἠγγέλθη 16
ἡ ναυμαχία, χαλεπῶς εἶχον τῷ Ἀλκιβιάδῃ οἰόμενοι δι'
ἀμέλειάν τε καὶ ἀκράτειαν ἀπολωλεκέναι τὰς ναῦς καὶ
στρατηγοὺς εἵλοντο ἄλλους δέκα, Κόνωνα, Διομέδον-
τα, Λέοντα, Περικλέα, Ἐρασινίδην, Ἀριστοκράτην,
Ἀρχέστρατον, Πρωτόμαχον, Θράσυλλον, Ἀριστογένην.
Ἀλκιβιάδης μὲν οὖν πονήρως καὶ ἐν τῇ στρατιᾷ φε- 17
ρόμενος, λαβὼν τριήρη μίαν ἀπέπλευσεν εἰς Χεῤῥό-
νησον εἰς τὰ ἑαυτοῦ τείχη. Μετὰ δὲ ταῦτα Κόνων 18
ἐκ τῆς Ἄνδρου ξὺν αἷς εἶχε ναυσὶν εἴκοσι, ψηφισα-
μένων Ἀθηναίων, εἰς Σάμον ἔπλευσεν ἐπὶ τὸ ναυτι-
κόν. Ἀντὶ δὲ Κόνωνος εἰς Ἄνδρον ἔπεμψαν Φανοσθένην
τέτταρας ναῦς ἔχοντα. Οὗτος περιτυχὼν δυοῖν τριή- 19
ροιν Θουρίαιν ἔλαβεν αὐτοῖς ἀνδράσι· καὶ τοὺς μὲν

Comm. hist. p. 82 seq. *Τεΐον*, Krüger. Dion. Halic. p. 333. *Τέων* pro *Ἠϊόνα*.

§. 16. B. C. (om. *ἡ*) *ναυμαχία*.

§. 18. A. edd. ante Cast. *Ἀντάνδρου*. — A. C. D. E. *Φανοσθένη*.

§. 19. *περιτυχών* B. Y. Vict. Steph. Leoncl. Wells. seqq. edd. pro *περιελθών*.

nium Teiorum urbem et Methymnam.

§. 16. *ἐπειδὴ ἠγγέλθη ἡ ναυμαχία*] Plutarcho Alc. 36. auctore, statim post proelium Thrasybulus quidam, Thrasonis filius, Alcibiadi adversarius, homo (praeterquam quod infra etiam V, 1, 26. commemoratur) alioquin ignotus, Athenas properat, omnia in maius extollit, atque efficit, ut ei imperium abrogetur. Sievers. Comm. hist. p. 26. Hinrichs. de Theramenis, Critiae et Thrasybuli rebus et ingenio comment. p. 12 seq. et p. 55 seq.

ἀκράτειαν] Plutarch. Alc. 36: *παραδιδοὺς τὴν στρατηγίαν ἀνθρώποις ἐκ πότων καὶ ναυτικῆς σπερμολογίας δυναμένοις παρ' αὐτῷ μέγιστον, ὅπως αὐτὸς ἐπ' ἀδείας χρηματίζηται περιπλέων καὶ ἀκολασταίνῃ μεθυσκόμενος καὶ συνὼν ἑταίραις Ἀβυδηναῖς καὶ Ἰωνίσιν.*

Λέοντα] Interpretes consentiunt hic et infra 6, 16. scribendum esse *Λυσίαν*, quod nomen reperitur 6, 30. 7, 1., Diodor. XIII, 101. et 74., nisi quod postremo loco librorum errore *Λυσανίαν* scriptum est. V. Sievers. Comm. hist. p. 86.

§. 17. *εἰς τὰ ἑαυτοῦ τείχη*] Quod castellum prope abfuit a Bysanthe, oppido Thraciae ad Propontidem sito, auctore Plutarcho l. c. Pactyen cum Diodoro XIII, 74. nominat Nepos Alc. 7.

§. 18. *ἐπὶ τὸ ναυτικόν*]

αἰχμαλώτους ἅπαντας ἔδησαν Ἀθηναῖοι, τὸν δὲ ἄρχοντα αὐτῶν Δωριέα, ὄντα μὲν Ῥόδιον, πάλαι δὲ φυγάδα ἐξ Ἀθηνῶν καὶ Ῥόδου ὑπὸ Ἀθηναίων κατεψηφισμένων αὐτοῦ θάνατον καὶ τῶν ἐκείνου συγγενῶν, πολιτεύοντα παρ' αὐτοῖς, ἐλεήσαντες ἀφεῖσαν οὐδὲ χρή-
20 ματα πραξάμενοι. Κόνων δ' ἐπεὶ εἰς τὴν Σάμον ἀφίκετο καὶ τὸ ναυτικὸν κατέλαβεν ἀθύμως ἔχον, ξυμπληρώσας τριήρεις ἑβδομήκοντα ἀντὶ τῶν προτέρων, οὐσῶν πλέον ἢ ἑκατόν, καὶ ταύταις ἀναγόμενος μετὰ τῶν ἄλλων στρατηγῶν, ἄλλοτε ἄλλῃ ἀποβαίνων τῆς
21 τῶν πολεμίων χώρας ἐλῄζετο. (Καὶ ὁ ἐνιαυτὸς ἔληγεν, ἐν ᾧ Καρχηδόνιοι εἰς Σικελίαν στρατεύσαντες εἴκοσι καὶ ἑκατὸν τριήρεσι καὶ πεζῆς στρατιᾶς δώδεκα μυριάσιν εἷλον Ἀκράγαντα λιμῷ, μάχῃ μὲν ἡττηθέντες, προςκαθεζόμενοι δὲ ἑπτὰ μῆνας.)

ἀφεῖσαν A. C. D. E. Ald. Steph. II. Dind. II. III.; B Iunt. Steph. I. Leoncl. ἀφῆσαν; Wells. Mor. Schneid. Weisk. Schaef. Dind. I. ἀφῆκαν.

ad imperium classis suscipiendum, ut videmus ex Diodoro XIII, 74.

§. 19. Δωριέα] De hoc v. ad I, 1, 2.

ἐξ Ἀθηνῶν] Hoc quid sibi velit, miratur Brücknerus (*Zeitschr. f. A.-W.* 1839. no. 50.), et mirum sane est Dorieum Rhodium dici exsulare Athenis, quum non credibile sit hunc celeberrimum Atheniensium adversarium ab his unquam civitate fuisse donatum, nisi forte liceat haec verba ita accipere, ut Dorieum et Atheniensis et Rhodiae civitatis hostem ab Atheniensibus esse iudicatum significent.

πολιτεύοντα παρ' αὐτοῖς] Civitate donatus erat a Thuriis. αὐτοῖς igitur referendum est ad αἰχμαλώτους.

§. 20. ἀθύμως ἔχον] V. §. 8.

§. 21. Καὶ ὁ ἐνιαυτός] Haec paragraphus errorem continet. Auctore enim Diodoro XIII, 91. Agrigentum captum est ab Hamilcare μικρὸν πρὸ τῆς χειμερινῆς τροπῆς olymp. 93, 3. sive belli Peloponnesiaci anno sexto et vicesimo. Hoc autem loco significandus erat finis anni quinti et vicesimi; quam ob causam hanc sectionem seclusi. Cf. II, 2, 24. V. Sievers. Comm. hist. p. 91. Praef. p. XXVIII seq.

CAPUT VI.

ARGUMENTUM.

Lysandro successor missus Callicratidas. Simultas inter utrumque. A Cyro quum huic non statim pecunia numeraretur, e Mileto et Chio accepit unde stipendia suis daret. Hinc statim Methymnam expugnavit et inde Cononem ad Mytilenen obsedit. Quod quum perlatum esset Athenas, magnam classem Athenienses ei miserunt subsidio. Cum hac reliquisque Atheniensium copiis Callicratidas congressus ad Arginusas ipse in mari periit, naves autem eius aut demersae aut captae. Eteonicus tamen callide cum reliquis elapsus est.

Τῷ δ᾽ ἐπιόντι ἔτει (ᾧ ἥ τε σελήνη ἐξέλιπεν ἑσπέ- 1
ρας καὶ ὁ παλαιὸς τῆς Ἀθηνᾶς νεὼς ἐν Ἀθήναις B.P.a.26.
ἐνεπρήσθη, Πιτύα μὲν ἐφορεύοντος, ἄρχοντος δὲ Καλ-
λίου Ἀθήνησιν), οἱ Λακεδαιμόνιοι, τῷ Λυσάνδρῳ παρε-
ληλυθότος ἤδη τοῦ χρόνου (καὶ τῷ πολέμῳ τεττά-
ρων καὶ εἴκοσιν ἐτῶν), ἔπεμψαν ἐπὶ τὰς ναῦς Καλ-

Cap. VI. §. 1. Pro *Πίτιος* cum Steph. Schneid. ex II, 3, 10. rescripsit *Πιτύου*, Dind. II. III. *Πιτύα*.

Cap. VI. §. 1. *Τῷ δ᾽ ἐπιόντι ἔτει*] Is est annus 406. a. Chr. sive ol. 93, 2—3., quo lunae eclipsis erat die 15. sive 16. mensis Aprilis. Atque alibi quoque a Thucydide (IV, 52.) et a Xenophonte (IV, 3, 10. et II, 3, 4, ubi v. adn.) solis vel lunae eclipsis commemoratur, sed h. l. eam ad nullum anni tempus referri Brücknero (Progr. Suidnic. 1838. p. 11.) iure movet suspicionem. In sequentibus autem verbis manifeste erravit interpolator. Namque Erechtheum, quod, ut distinguatur a Parthenone, quod erat recentioris temporis, *παλαιὸς νεὼς* dicitur, a Persis paullo ante pugnam Salaminiam conflagratum (Herod. VIII, 53 seq.) neque, ut colligitur ex inscriptione quadam (Boeckh. C. I. no. 160. p. 264.), ol. 93, 2. plane restitutum erat. O. Müllerus (Minerv. Pol. p. 19 seq.) callide opinatur grammaticum, quum legisset archonte Callia sive Callida Minervae templum combustum esse, hoc factum, quod ol. 75, 1. accidit, male retulisse ad Calliam, qui archon erat ol. 93, 3. Aliter quidem de hac re sentit Boeckhius l. d., sed idem verba *καὶ — ἐνεπρήσθη* interpolatori tribuit. Magistratus quidem hic recte notantur, perperam vero additur belli praeterlapsos esse 24 annos pro 25. Unde id certe coniicere licet, magistratuum notationes non ab eodem profectas esse, a quo belli annorum notae sunt interpolatae.

ἔπεμψαν — Καλλικρατίδαν] Hoc factum est vere, non auctumno, ut contendit

2 λικρατίδαν. Ὅτε δὲ παρεδίδου ὁ Λύσανδρος τὰς ναῦς,
ἔλεγε τῷ Καλλικρατίδᾳ, ὅτι θαλαττοκράτωρ τε παρα-
δοίη καὶ ναυμαχίᾳ νενικηκώς. Ὁ δὲ αὐτὸν ἐκέλευσεν
ἐξ Ἐφέσου ἐν ἀριστερᾷ Σάμου παραπλεύσαντα, οὗ
ἦσαν αἱ τῶν Ἀθηναίων νῆες, ἐν Μιλήτῳ τὰς ναῦς
3 παραδοῦναι, καὶ ὁμολογήσειν θαλαττοκρατεῖν. Οὐ φα-
μένου δὲ τοῦ Λυσάνδρου πολυπραγμονεῖν, ἄλλου ἄρχον-
τος, αὐτὸς ὁ Καλλικρατίδας πρὸς αἷς παρὰ Λυσάν-
δρου ἔλαβε ναυσὶ προςεπλήρωσεν ἐκ Χίου καὶ Ῥό-
δου καὶ ἄλλοθεν ἀπὸ τῶν ξυμμάχων πεντήκοντα ναῦς.
Ταύτας δὲ πάσας ἀθροίσας, οὔσας τετταράκοντα καὶ
ἑκατόν, παρεσκευάζετο ὡς ἀπαντησόμενος τοῖς πολε-
4 μίοις. Καταμαθὼν δὲ ὑπὸ τῶν Λυσάνδρου φίλων κα-
ταστασιαζόμενος, οὐ μόνον ἀπροθύμως ὑπηρετούντων,
ἀλλὰ καὶ διαθροούντων ἐν ταῖς πόλεσιν, ὅτι Λακεδαι-
μόνιοι μέγιστα παραπίπτοιεν ἐν τῷ διαλλάττειν τοὺς
ναυάρχους, πολλάκις ἀνεπιτηδείων γινομένων καὶ ἄρτι
ξυνιέντων τὰ ναυτικὰ καὶ ἀνθρώποις ὡς χρηστέον οὐ
γινωσκόντων, ἀπείρους δὴ θαλάττης πέμποντες καὶ
ἀγνῶτας τοῖς ἐκεῖ κινδυνεύοιέν τι παθεῖν διὰ τοῦτο,
ἐκ τούτου δὲ ὁ Καλλικρατίδας ξυγκαλέσας τοὺς Λα-
κεδαιμονίων ἐκεῖ παρόντας ἔλεγεν αὐτοῖς τοιάδε.
5 Ἐμοὶ ἀρκεῖ οἴκοι μένειν, καὶ εἴτε Λύσανδρος εἴτε
ἄλλος τις ἐμπειρότερος περὶ τὰ ναυτικὰ βούλεται εἶ-

§. 2. *τὰς ναῦς παραδοῦναι* dedi ex B. pro *παραδ. τ. ν.*

§. 4. Pro *ἀνεπιτηδείων γινομένων* Iacobs. ad Athen. p. 21., Schneid. II. et Dind. scribunt *ἀντ' ἐπιτηδείων γενομένων*, iidem deinceps om. *οὐ* ante *γινωσκόντων* et dant *ἀπείρους δὴ* pro vulg. *ἀπ. δέ*, sed Dind. III. *ἀπείρους τε*; est quidem *γενομένων* in D, sed *γινομένων* in C. E, unde hoc rescripsi (v. Poppo Anab. p. XLIII. Saupp. ad Comment. I, 2, 53. Kühner. Exc. I. ad Comment. p. 481 seqq. et ad Anab. II, 2, 1. in var. script.), praesertim quum B. *γινωσκόντων* habeat, quod item reposui; Steph. coni. *καὶ ὅτι κινδ.*, quod recepit Wells.; Weisk. *καὶ κινδ.* et antea *ἀπείρους θαλάττης*; B. *κινδυνεύσειεν.*

Haackius p. 16. V. supra adn. ad 5, 1.

§. 4. *ὑπὸ τῶν — καταστασιαζόμενος*] Lysandri amicos sibi adversari. STURZ. Germanice vertas: *daſs die Anhänger des Lysandros Parteiungen gegen ihn bildeten.*

ἀνεπιτηδείων γινομένων] Peterus (Comm. crit. p. 28 seq.) hunc locum optime sic interpretatus est: „Lacedaemonios maximopere decipi classis praefectos saepe commutando sic, ut creentur (*γινομένων*) qui minus idonei sint et rem militarem modo recens perdiscant et hominibus quomodo utendum sit nesciant, ita igitur (*ἀπείρους δή*) quod mittant rei maritimae

ναι, οὐ κωλύω τὰ κατ' ἐμέ· ἐγὼ δ' ὑπὸ τῆς πόλεως
ἐπὶ τὰς ναῦς πεμφθεὶς οὐκ ἔχω, τί ἄλλο ποιῶ ἢ τὰ
κελευόμενα, ὡς ἂν δύνωμαι κράτιστα. Ὑμεῖς δὲ πρὸς
ἃ ἐγώ τε φιλοτιμοῦμαι καὶ ἡ πόλις ἡμῶν αἰτιάζεται,
ἴστε γὰρ αὐτὰ ὥςπερ καὶ ἐγώ, συμβουλεύετε τὰ ἄρι-
στα ὑμῖν δοκοῦντα εἶναι περὶ τοῦ ἐμὲ ἐνθάδε μένειν
ἢ οἴκαδε ἀποπλεῖν ἐροῦντα τὰ καθεστῶτα ἐνθάδε.

Οὐδενὸς δὲ τολμήσαντος ἄλλο τι εἰπεῖν ἢ τοῖς 6
οἴκοι πείθεσθαι ποιεῖν τε ἐφ' ἃ ἥκει, ἐλθὼν παρὰ Κῦ-
ρον ᾔτει μισθὸν τοῖς ναύταις· ὁ δὲ αὐτῷ εἶπε δύο 7
ἡμέρας ἐπισχεῖν. Καλλικρατίδας δὲ ἀχθεσθεὶς τῇ ἀνα-
βολῇ καὶ ταῖς ἐπὶ τὰς θύρας φοιτήσεσιν, ὀργισθεὶς
καὶ εἰπὼν ἀθλιωτάτους εἶναι τοὺς Ἕλληνας, ὅτι βαρ-
βάρους κολακεύουσιν ἕνεκα ἀργυρίου, φάσκων τε, ἢν
σωθῇ οἴκαδε, κατά γε τὸ αὐτῷ δυνατὸν διαλλάξειν
Ἀθηναίους καὶ Λακεδαιμονίους, ἀπέπλευσεν εἰς Μί-
λητον· κἀκεῖθεν πέμψας τριήρεις εἰς Λακεδαίμονα ἐπὶ 8
χρήματα, ἐκκλησίαν ἀθροίσας τῶν Μιλησίων τάδε εἶπεν.

Ἐμοὶ μέν, ὦ Μιλήσιοι, ἀνάγκη τοῖς οἴκοι ἄρχουσι
πείθεσθαι· ὑμᾶς δὲ ἐγὼ ἀξιῶ προθυμοτάτους εἶναι εἰς
τὸν πόλεμον διὰ τὸ οἰκοῦντας ἐν βαρβάροις πλεῖστα
κακὰ ἤδη ὑπ' αὐτῶν πεπονθέναι. Δεῖ δὲ ὑμᾶς ἐξηγεῖ- 9
σθαι τοῖς ἄλλοις ξυμμάχοις, ὅπως ἂν τάχιστά τε καὶ
μάλιστα βλάπτωμεν τοὺς πολεμίους, ἕως ἂν οἱ ἐκ Λα-

§. 5. Dind. cum Vict. Ἐμοὶ μὲν ἀρκεῖ. — Ante Dind. II. legebatur ὡς ἐπί, sed ὡς abest in codd. — ξυμβουλεύετε dederunt ex emendatione Stephani Wells. Weisk. Schneid. II. Dind. pro συμβουλεύω, quod est in codd.; pro ξυμβ. scripsi συμβ. cum codd. — Vulg. ἐροῦντας, pro quo Bryl. Cast. dant ὁρῶντας, correxerunt Weisk. et Schneid. ex coniectura Stephani cum B. D.

§. 7. B. ἐπὶ ταῖς θήραις pro ἐπὶ τὰς θύρας. — C. E. Y. κατά τε τὸ αὐτῷ; etiam in edd. ante Morum est τε, quod Leoncl. Wells. plane om.

§. 9. Dind. II. III. δεῖ δ' ὑμᾶς. — Marg. Steph. οἱ Λακεδαιμόνιοι; B. om. ἐκ.

imperitos et eis qui illic sint ignotos, eos periculum adducere, ne idcirco aliquid detrimenti capiant." De part. δή v. Hartung. Part. I. p. 261.

§. 5. τὰ κατ' ἐμέ] Hertlinius (Progr. Werth. 1841. p. 9.) ex constanti usu postulat τὸ κατ' ἐμέ, quod mihi quoque reponendum videtur. V. Kühner. gr. max. §. 557. adn. 4. Matth. §. 283. Poppo ad Thucyd. II, 11.

ἐπὶ τὰς ναῦς] ὡς, si unus tantum ex melioribus codicibus haberet, recepissem. V. Kühner. gr. max. §. 604. adn. Buttmann. gr. §. 149, 1.

πρὸς ἅ] i. e. habita ratione eorum, in quibus

κεδαίμονος ἥκωσιν, οὓς ἐγὼ ἔπεμψα χρήματα ἄξοντας,
ἐπεὶ τὰ ἐνθάδε ὑπάρχοντα Λύσανδρος Κύρῳ ἀποδοὺς
10 ὡς περιττὰ ὄντα οἴχεται· Κῦρος δέ, ἐλθόντος ἐμοῦ
ἐπ᾽ αὐτόν, ἀεὶ ἀνεβάλλετό μοι διαλεχθῆναι, ἐγὼ δὲ ἐπὶ
τὰς ἐκείνου θύρας φοιτᾶν οὐκ ἠδυνάμην ἐμαυτὸν πεῖ-
11 σαι. Ὑπισχνοῦμαι δὲ ὑμῖν ἀντὶ τῶν ξυμβάντων ἡμῖν
ἀγαθῶν ἐν τῷ χρόνῳ, ᾧ ἂν ἐκεῖνα προςδεχώμεθα, χά-
ριν ἀξίαν ἀποδώσειν. Ἀλλὰ ξὺν τοῖς θεοῖς δείξωμεν
τοῖς βαρβάροις, ὅτι καὶ ἄνευ τοῦ ἐκείνους θαυμάζειν
δυνάμεθα τοὺς ἐχθροὺς τιμωρεῖσθαι.
12 Ἐπεὶ δὲ ταῦτ᾽ εἶπεν, ἀνιστάμενοι πολλοὶ καὶ μά-
λιστα οἱ αἰτιαζόμενοι ἐναντιοῦσθαι, δεδιότες εἰςηγοῦν-
το πόρον χρημάτων καὶ αὐτοὶ ἐπαγγελλόμενοι ἰδίᾳ. Λα-
βὼν δὲ ταῦτα ἐκεῖνος καὶ ἐκ Χίου πενταδραχμίαν ἑκά-
στῳ τῶν ναυτῶν ἐφοδιασάμενος ἔπλευσε τῆς Λέσβου
13 ἐπὶ Μήθυμναν πολεμίαν οὖσαν. Οὐ βουλομένων δὲ
τῶν Μηθυμναίων προςχωρεῖν, ἀλλ᾽ ἐμφρούρων ὄντων
Ἀθηναίων, καὶ τῶν τὰ πράγματα ἐχόντων ἀττικιζόντων,
14 προςβαλὼν αἱρεῖ τὴν πόλιν κατὰ κράτος. Τὰ μὲν οὖν
χρήματα πάντα διήρπαζον οἱ στρατιῶται, τὰ δὲ ἀν-
δράποδα πάντα ξυνήθροισεν ὁ Καλλικρατίδας εἰς τὴν

§. 11. Dind. II. III. δ᾽ ὑμῖν. — ξυμβάντων ὑμῖν A. C. D. E. Ald. Iunt. Steph. I. Leoncl. — D. om. ἀγαθῶν. — Cast. δείξομεν.
§. 12. B. ἀντιοῦσθαι et om. ἐκεῖνος.
§. 14. πάντα om. D. — B. διήρπασαν. — A. E. αὐτοῦ (om. γε) ἄρχοντος; αὐτοῦ etiam C.; edd. vett. ante Steph. αὐτοῦ. — τὸ κείνου, quod est in codd. et edd. ante Schneid., quocum Dind.

equidem magno studio versor et civitas nostra incusatur.

§. 13. τῶν τὰ πράγματα ἐχόντων] Item Thucyd. VI, 39. Similia III, 28. οἱ ἐν τοῖς πράγμασι. Idem sunt qui infra IV, 4, 5. dicuntur οἱ ἐν δυνάμει ὄντες, i. e. qui rempublicam moderantur. V. Krüger. ad Dion. Hal. 269 seq.

§. 15. τοὺς δέ] Haec ab interpretibus multum vexata quomodo sint intelligenda, bene exponit Peterus (p. 31.), ἐξανδραποδίζειν est: cives urbis captae in servitutem redigere agro simul bonisque publicatis. Id quod olim Athenienses in Aeginetas, Melios, Scionaeos aliosque (v. II, 3, 10. Thucyd. V, 116. I, 14. V, 32, 3.) fecerant et fecit (cf. supra 5, 20.) nunc quoque Conon, reprehendit Callicratidas seque non facturum affirmat §. 14. Athenienses scilicet, quos cepit Methymna expugnata, quia, si hoc non fecisset, mox denuo contra ipsum arma laturi fuissent, una cum iis, qui iam in urbe nondum capta servi fuerant (τὰ ἀνδράποδα τὰ δοῦλα), venum dedit, cives autem Methymnaeos liberos dimisit. De verbo ἀνδραποδίζειν compara II, 1, 15. 2, 14.

ἀγοράν, καί, κελευόντων τῶν ξυμμάχων ἀποδόσθαι καὶ
τοὺς Μηθυμναίους, οὐκ ἔφη ἑαυτοῦ γε ἄρχοντος οὐ-
δένα Ἑλλήνων εἰς τὸ κείνου δυνατὸν ἀνδραποδισθῆ-
ναι. Τῇ δ' ὑστεραίᾳ τοὺς μὲν ἐλευθέρους ἀφῆκε, τοὺς 15
δὲ τῶν Ἀθηναίων φρουροὺς καὶ τὰ ἀνδράποδα τὰ
δοῦλα πάντα ἀπέδοτο· Κόνωνι δὲ εἶπεν, ὅτι παύσει
αὐτὸν μοιχῶντα τὴν θάλατταν. Κατιδὼν δὲ αὐτὸν ἀνα-
γόμενον ἅμα τῇ ἡμέρᾳ ἐδίωκεν ὑποτεμνόμενος τὸν εἰς
Σάμον πλοῦν, ὅπως μὴ ἐκεῖσε φύγῃ. Κόνων δ' ἔφευγε 16
ταῖς ναυσὶν εὖ πλεούσαις διὰ τὸ ἐκ πολλῶν πληρω-
μάτων εἰς ὀλίγας ἐκλελέχθαι τοὺς ἀρίστους ἐρέτας, καὶ
καταφεύγει εἰς Μιτυλήνην τῆς Λέσβου καὶ ξὺν αὐτῷ
τῶν δέκα στρατηγῶν Λέων καὶ Ἐρασινίδης. Καλλικρα-
τίδας δὲ ξυνεισέπλευσεν εἰς τὸν λιμένα διώκων ναυσὶν
ἑκατὸν καὶ ἑβδομήκοντα. Κόνων δὲ ὡς ἔφθη, ὑπὸ 17
τῶν πολεμίων κατακωλυθεὶς ἠναγκάσθη ναυμαχῆσαι
πρὸς τῷ λιμένι καὶ ἀπώλεσε ναῦς τριάκοντα· οἱ δ'
ἄνδρες εἰς τὴν γῆν ἀπέφυγον· τὰς δὲ λοιπὰς τῶν νεῶν,
τετταράκοντα οὔσας, ὑπὸ τῷ τείχει ἀνείλκυσε. Καλ- 18
λικρατίδας δὲ ἐν τῷ λιμένι ὁρμισάμενος ἐπολιόρκει ἐν-
ταῦθα, τὸν ἔκπλουν ἔχων. Καὶ κατὰ γῆν μεταπεμψά-

scripsit τὸ ἐκείνου, reposui, v. ad I, 1, 28.; cum Leoncl. et Zeunio Weisk. dedit τοὐκείνου.

§. 15. Suadente Leonclavio Schneid. Dind. I. scripserunt τούς τε. — B. φύγοι.

§. 17. πολεμίων dederunt Port. marg. Leoncl. Wells. Schneid. Weisk. Dind. pro πολιτῶν. — Pro κατακωλυθεὶς Port. marg. Steph. κατακλεισθείς, quod probat Schneid.

16. 20. Ita apparet id quod hac paragrapho narratur de Callicratida non contrarium esse eius verbis antecedenti sectione commemoratis.

μοιχῶντα τὴν θάλατταν] Plutarch. Vol. X. p. 525. ed. R. explicat: *αἰσχρῶς καὶ κρύφα πειρᾶν καὶ παραβιάζεσθαι τὴν θάλατταν.* Wesseling. ad Diodor. XIII, 77. affert Synesii locum ep. 5: *πυνθάνομαι, Κοττιακὸν ὄνομα — μοιχᾶσθαι πάλιν τὴν ἐκκλησίαν καὶ ψευδοδιδασκάλους τινὰς ἐφιστάναι.*

§. 16. *Λέων καὶ Ἐρασινίδης*] De Leonte v. supra adn. ad 5, 16. Sed Erasinidis quoque nomen movet dubitationem. Hic una cum Conone in portu Mitylenensi inclusus esse non potuit, quippe qui paullo post interfuerit proelio ad Arginusas §. 29., nisi statuere velimus eum in ea nave effugisse, quae §. 22. hostibus elapsa Athenas pervenisse narratur. Quam ob rem Morus et Schneiderus recte opinari videntur pro illis nominibus vel certe pro nomine Leontis reponendum esse Ἀρχέστρατος, quem cum Conone inclusum fuisse et Mitylenae obiisse ex loco Lysiae p. 701. ed. R. constat. V. Sievers. p. 85.

ξυνεισέπλευσεν] E Diodoro XIII, 79. et Strabone XIII,

μενος τοὺς Μηθυμναίους πανδημεὶ καὶ ἐκ τῆς Χίου
τὸ στράτευμα διεβίβασε· χρήματά τε παρὰ Κύρου αὐτῷ
19 ἦλθεν. Ὁ δὲ Κόνων ἐπεὶ ἐπολιορκεῖτο καὶ κατὰ γῆν
καὶ κατὰ θάλατταν, καὶ σίτων οὐδαμόθεν ἦν εὐπορῆ-
σαι, οἱ δὲ ἄνθρωποι πολλοὶ ἐν τῇ πόλει ἦσαν καὶ οἱ
Ἀθηναῖοι οὐκ ἐβοήθουν διὰ τὸ μὴ πυνθάνεσθαι ταῦτα,
καθελκύσας τῶν νεῶν τὰς ἄριστα πλεούσας δύο ἐπλή-
ρωσε πρὸ ἡμέρας, ἐξ ἁπασῶν τῶν νεῶν τοὺς ἀρίστους
ἐρέτας ἐκλέξας, καὶ τοὺς ἐπιβάτας εἰς κοίλην ναῦν με-
20 ταβιβάσας, καὶ τὰ παραῤῥύματα παραβαλών. Τὴν μὲν
οὖν ἡμέραν οὕτως ἀνεῖχον, εἰς δὲ τὴν ἑσπέραν, ἐπεὶ
σκότος εἴη, ἐξεβίβαζεν, ὡς μὴ καταδήλους εἶναι τοῖς
πολεμίοις ταῦτα ποιοῦντας. Πέμπτῃ δὲ ἡμέρᾳ εἰςθέ-
μενοι σῖτα μέτρια, ἐπειδὴ ἤδη μέσον ἡμέρας ἦν, καὶ
οἱ ἐφορμοῦντες ὀλιγώρως εἶχον καὶ ἔνιοι ἀνεπαύοντο,
ἐξέπλευσαν ἔξω τοῦ λιμένος, καὶ ἡ μὲν ἐπὶ Ἑλλησπόν-
21 του ὥρμησεν, ἡ δὲ εἰς τὸ πέλαγος. Τῶν δὲ ἐφορμούν-
των ὡς ἕκαστοι ἤνοιγον, τάς τε ἀγκύρας ἀποκόπτον-
τες καὶ ἐγειρόμενοι ἐβοήθουν τεταραγμένοι, τυχόντες
ἐν τῇ γῇ ἀριστοποιούμενοι· εἰςβάντες δὲ ἐδίωκον τὴν
εἰς τὸ πέλαγος ἀφορμήσασαν καὶ ἅμα τῷ ἡλίῳ δύ-
νοντι κατέλαβον καὶ κρατήσαντες μάχῃ ἀναδησάμενοι

§. 18. *ἐκ τῆς Χίου* ex edd. vett. et codd. Pariss. dedit Dind. II. III. pro *ἐκ Χίου*.

§. 19. B. D. *σῖτον*. — *παραβαλών* pro *παραλαβών*, monentibus Leoncl. et Stephano, scripsit primus Schneid. II.

§. 20. *ἀνεῖχον* pro *ἂν εἶχον* exhibent B. C. D. Vict. Steph. II. marg. Leoncl. Wells. Schneid. II. Dind. — *Πέμπτῃ* B. D. Vict. Dind. II. III. pro *Τῇ πέμπτῃ*. — E. *ἐθέμενοισι*. — A. *καὶ ἐφορμ.*;

p. 917. Schneiderus demonstrat Mitylenen habuisse duos portus, quorum alter interior et sub ipsam urbem sita erat, alter exterior et ab urbe remotior, ambo euripo inter se coniuncti, ita ut neque ex aperto mari et ex portu illo exteriore in portum ad urbem situm neque ex hoc in illum navi pervenire quisquam potuerit nisi per euripum. Callicratidas igitur Cononem persequens eum ingressus in exteriorem portum proelio vincit et arcet, quo minus per euripum in altum mare naviget.

§. 21. *Τῶν δὲ ἐφορμούντων ὡς ἕκαστοι ἤνοιγον*] Male Peterus *ὡς* ad *ἕκαστοι*, non ad verbum *ἤνοιγον* pertinere ait. Cf. I, 1, 3. 5, 13. Nec tamen hoc loco, ut nunc est, *ἤνοιγον* significare potest in altum mare viam sibi aperire, id quod apparet ex sequentibus verbis, maxime ex *ἐβοήθουν*, i. e. accurrerunt, et ex *εἰςβάντες*, sed nihil nisi viam sibi aperire (in terra), i. e. se expedire. Nautae enim, qui coenabant, subito excitati, ut quisque surrexit et se expe-

ἀπῆγον εἰς τὸ στρατόπεδον αὐτοῖς ἀνδράσιν. Ἡ δ' ἐπὶ 22
τοῦ Ἑλλησπόντου φυγοῦσα ναῦς διέφυγε καὶ ἀφικο-
μένη εἰς τὰς Ἀθήνας ἐξαγγέλλει τὴν πολιορκίαν. Διο-
μέδων δὲ βοηθῶν Κόνωνι πολιορκουμένῳ δώδεκα ναυ-
σὶν ὡρμίσατο εἰς τὸν εὔριπον τῶν Μιτυληναίων. Ὁ 23
δὲ Καλλικρατίδας ἐπιπλεύσας αὐτῷ ἐξαίφνης δέκα μὲν
τῶν νεῶν ἔλαβε, Διομέδων δ' ἔφυγε τῇ τε αὐτοῦ καὶ
ἄλλῃ. Οἱ δὲ Ἀθηναῖοι τὰ γεγενημένα καὶ τὴν πολιορ- 24
κίαν ἐπεὶ ἤκουσαν, ἐψηφίσαντο βοηθεῖν ναυσὶν ἑκατὸν
καὶ δέκα εἰςβιβάζοντες τοὺς ἐν ἡλικίᾳ ὄντας ἅπαντας,
καὶ δούλους καὶ ἐλευθέρους· καὶ πληρώσαντες τὰς δέκα
καὶ ἑκατὸν ἐν τριάκοντα ἡμέραις ἀπῆραν. Εἰςέβησαν 25
δὲ καὶ τῶν ἱππέων πολλοί. Μετὰ ταῦτα ἀνήχθησαν
εἰς Σάμον κἀκεῖθεν Σαμίας ναῦς ἔλαβον δέκα· ἤθροι-
σαν δὲ καὶ ἄλλας πλείους ἢ τριάκοντα παρὰ τῶν ἄλ-
λων ξυμμάχων εἰςβαίνειν ἀναγκάσαντες ἅπαντας, ὁμοίως
δὲ καὶ εἴ τινες αὐτοῖς ἔτυχον ἔξω οὖσαι. Ἐγένοντο δὲ
αἱ πᾶσαι πλείους ἢ πεντήκοντα καὶ ἑκατόν. Ὁ δὲ Καλ- 26
λικρατίδας ἀκούων τὴν βοήθειαν ἤδη ἐν Σάμῳ οὖσαν
αὐτοῦ μὲν κατέλιπε πεντήκοντα ναῦς καὶ ἄρχοντα Ἐτεό-
νικον, ταῖς δὲ εἴκοσι καὶ ἑκατὸν ἀναχθεὶς ἐδειπνοποι-
εῖτο τῆς Λέσβου ἐπὶ τῇ Μαλέᾳ ἄκρᾳ ἀντίον τῆς Μι-

Wells. ἐφορῶντες. — A. E. edd. vett. ἐξέπλευσεν. — B. D. marg. Steph. Schneid. II. Dind. Ἑλληςπόντου; E. Ἑλληςποντο.

§. 21. Wells. ἐφορώντων. — Ante Dind. II. edebatur ἐφορμήσασαν; Schneid. malebat ὁρμήσασαν.

§. 22. ὁρμίσατο B. D. Schneid. II. Dind. antea ὁρμήσατο.

§. 24. B. marg. Steph. εἰςβιάζοντες. — Vict. ἐν τῇ ἡλικίᾳ. — τὰς ante δέκα addunt A. edd. vett. Weisk. Schneid. II. et Dind. V. adn. ad Oecon. XX, 16.

divit, cursu naves petunt. At vero sic quoque verba negligentius sunt collocata. Exspectamus enim enuntiationem sic compositam: ὡς ἕκαστοι ἐγειρόμενοι ἤνοιγον, ἐβοήθουν τεταραγμένοι, τυχόντες — ἀριστοποιούμενοι, καὶ τὰς ἀγκύρας ἀπέκοπτον. Hanc ob causam et quia verbum ἀνοίγειν in terra viam sibi aperire significans alibi non reperitur, a librario corruptum esse puto hunc locum. Scriptor fortasse dicturus erat: Τῶν δὲ ἐφορμούντων ὡς ἕκαστοι ἤνοιγον (in altum mare) ἐδίωκον κτλ. Iam vero, ut intelligeretur, cur nautae non uno impetu mare petiissent, sed singulatim, interseruit haec fere: ἐγειρόμενοι γὰρ καὶ τὰς ἀγκύρας ἀποκόπτοντες ἐβοήθουν τεταραγμένοι, τυχόντες ἐν τῇ γῇ ἀριστοποιούμενοι. Deinde fieri facile potuit, ut immemor initii enuntiationis per anacoluthiam pergeret: εἰςβάντες δὲ ἐδίωκον κτλ. Grammaticus autem hanc anacoluthiam emendaturus omnia pervertit.

§. 26. ταῖς δ' εἴκοσι] De art. ταῖς v. ad I, 18.

27 τυλήνης. Τῇ δ' αὐτῇ ἡμέρᾳ ἔτυχον καὶ οἱ Ἀθηναῖοι
δειπνοποιούμενοι ἐν ταῖς Ἀργινούσαις· αὗται δ' εἰσὶν
28 ἀντίον τῆς Λέσβου. Τῆς δὲ νυκτὸς ἰδὼν τὰ πυρὰ
καί τινων αὐτῷ ἐξαγγειλάντων, ὅτι οἱ Ἀθηναῖοι εἶεν,
ἀνήγετο περὶ μέσας νύκτας, ὡς ἐξαπιναίως προσπέσοι·
ὕδωρ δ' ἐπιγενόμενον πολὺ καὶ βρονταὶ διεκώλυσαν
τὴν ἀναγωγήν. Ἐπεὶ δὲ ἀνέσχεν, ἅμα τῇ ἡμέρᾳ ἔπλει
29 ἐπὶ τὰς Ἀργινούσας. Οἱ δ' Ἀθηναῖοι ἀντανήγοντο εἰς
Ol. 93, 3. τὸ πέλαγος τῷ εὐωνύμῳ παρατεταγμένοι ὧδε. Ἀριστο-
κράτης μὲν τὸ εὐώνυμον ἔχων ἡγεῖτο πεντεκαίδεκα ναυσί,
μετὰ δὲ ταῦτα Διομέδων ἑτέραις πεντεκαίδεκα· ἐπετέ-
τακτο δὲ Ἀριστοκράτει μὲν Περικλῆς, Διομέδοντι δὲ
Ἐρασινίδης· παρὰ δὲ Διομέδοντα οἱ Σάμιοι δέκα ναυ-
σὶν ἐπὶ μιᾶς τεταγμένοι· ἐστρατήγει δὲ αὐτῶν Σάμιος
ὀνόματι Ἱππεύς· ἐχόμεναι δ' αἱ τῶν ταξιάρχων δέκα,
καὶ αὗται ἐπὶ μιᾶς· ἐπὶ δὲ ταύταις αἱ τῶν ναυάρχων
30 τρεῖς, καὶ εἴ τινες ἄλλαι ἦσαν ξυμμαχίδες. Τὸ δὲ δε-
ξιὸν κέρας Πρωτόμαχος εἶχε πεντεκαίδεκα ναυσί· παρὰ
δ' αὐτὸν Θράσυλλος ἑτέραις πεντεκαίδεκα· ἐπετέτακτο
δὲ Πρωτομάχῳ μὲν Λυσίας, ἔχων τὰς ἴσας ναῦς, Θρα-
31 σύλλῳ δὲ Ἀριστογένης. Οὕτω δ' ἐτάχθησαν, ἵνα μὴ

§. 27. Vulgo addunt post *αὗται δ' εἰσὶν ἀντίον τῆς Λέσβου* verba *ἐπὶ τῇ Μαλέᾳ ἄκρᾳ, ἀντίον τῆς Μιτυλήνης*; Dind. II. delevit, Dind. III. revocavit quidem verba *ἐπὶ τῇ Μαλέᾳ ἄκρᾳ*, sed uncinis inclusa; Krüger. (Dion. Hal. p. 307.) eiicit priore loco *ἀντίον τῆς Μιτυλήνης*, posteriore scribit *αὗται δ' εἰσὶν ἀντίον τῆς Μιτυλήνης*. — Totam paragraphum om. E.

§. 28. *οἱ* ante *Ἀθην.* Schneid. addidit e B. C.

§. 27. *αὗται δ' εἰσὶν ἀντίον τῆς Λέσβου*] Quae vulgo subsequuntur verba, damnata a Palmerio, Moro, Zeunio, delevi; orta enim sunt sine dubio ex vitio librarii, qui ad postrema antecedentis sectionis verba aberravit. Plane inepte addi *ἀντίον τῆς Μιτυλήνης* in promptu est, sed ea quoque quae antecedunt, *ἐπὶ τῇ Μαλέᾳ ἄκρᾳ*, ferri non possunt, si quidem *ἐπί* neque est id quod *ἀντικρύς*, neque eam vim habet, ut illa verba significent: opposita e ei Lesbi insulae parti, in qua est Malea promontorium. Si hoc dicere voluit Xenophon, scribendum erat *ἀντίον τῆς Λέσβου τῆς Μαλέας* sive, quoniam altera Lesbi commemoratio prorsus inutilis est, *ἀντίον τῆς Μαλέας ἄκρας*.

§. 28. *ἔπλει ἐπὶ τὰς Ἀργινούσας*] De tempore, quo proelium ad Arginusas commissum est, accurate disseruit Dindorfius in ed. Berol. p. 286. Adde Boeckh. *Staatshaush. d. Ath.* I, p. 374. ed. II., qui decem et centum illas naves (§. 24.) certe ante ol. 93, 3. armatas esse contendit. Ad praecedens *ἀνέσχεν* intellige *ὁ χειμών*. Schneiderus apposite comparat Theogni-

διέκπλουν διδοῖεν· χεῖρον γὰρ ἔπλεον. Αἱ δὲ τῶν Λα-
κεδαιμονίων ἀντιτεταγμέναι ἦσαν ἅπασαι ἐπὶ μιᾶς ὡς
πρὸς διέκπλουν καὶ περίπλουν παρεσκευασμέναι διὰ τὸ
βέλτιον πλεῖν. Εἶχε δὲ τὸ δεξιὸν κέρας Καλλικρατίδας.
Ἕρμων δὲ Μεγαρεύς, ὁ τῷ Καλλικρατίδᾳ κυβερνῶν, 32
εἶπε πρὸς αὐτὸν, ὅτι εἴη καλῶς ἔχον ἀποπλεῦσαι· αἱ
γὰρ τριήρεις τῶν Ἀθηναίων πολλῷ πλέονες ἦσαν. Καλ-
λικρατίδας δὲ εἶπεν, ὅτι ἡ Σπάρτη οὐδὲν μὴ κάκιον
οἰκεῖται, αὐτοῦ ἀποθανόντος, φεύγειν δὲ αἰσχρὸν ἔφη
εἶναι. Μετὰ δὲ ταῦτα ἐναυμάχησαν χρόνον πολύν, πρῶ- 33
τον μὲν ἀθρόαι, ἔπειτα δὲ διεσκεδασμέναι. Ἐπεὶ δὲ
Καλλικρατίδας τε, ἐμβαλούσης τῆς νεώς, ἀποπεσὼν εἰς
τὴν θάλατταν ἠφανίσθη, Πρωτόμαχός τε καὶ οἱ μετ'
αὐτοῦ τῷ δεξιῷ τὸ εὐώνυμον ἐνίκησαν, ἐντεῦθεν φυγὴ
τῶν Πελοποννησίων ἐγένετο εἰς Χίον, πλείστων δὲ καὶ
εἰς Φώκαιαν· οἱ δὲ Ἀθηναῖοι πάλιν εἰς τὰς Ἀργινού-
σας κατέπλευσαν. Ἀπώλοντο δὲ τῶν μὲν Ἀθηναίων 34
νῆες πέντε καὶ εἴκοσιν αὐτοῖς ἀνδράσιν, ἐκτὸς ὀλίγων
τῶν πρὸς τὴν γῆν προσενεχθέντων, τῶν δὲ Πελοπον-
νησίων Λακωνικαὶ μὲν ἐννέα, πασῶν οὐσῶν δέκα, τῶν

§. 29. ἐπὶ μιᾶς post καὶ αὐταὶ ex codd. solus A habet. — αἱ ante τῶν, monente Steph., inseruit Dind. II. III.

§. 32. Steph. Ἕρμων δὲ καὶ Μεγ. — A. E. edd. vett. ante Steph. ἔχων. — μὴ Schneid. II. in μὲν mutavit, Dind. II. inclusit. — Dind. III. revocavit vulg. οἰκιεῖται, pro quo οἰκεῖται dederunt Schneid. II. Dind. I. II. ex A. et margg. Steph. et Leoncl. — ἔφη εἶναι scripsi cum B. pro εἶναι ἔφη.

dis illud οὐδὲ γὰρ ὁ Ζεὺς οὔθ' ὕων πάντας ἁνδάνει οὔτ' ἀνέχων.

§. 32. αἱ γὰρ — ἦσαν] Liberius in orationem rectam transitur. Usitatior esset aut infinitivus aut, quoniam per γάρ transitus fit, optativus. Ex εἴησαν, de qua forma v. Poppo ad Anab. I, 1, 5. facile poterat oriri ἦσαν. V. Kühner. gr. schol. §. 345, 3. adn. 1. Buttmann. gr. §. 139, 68. adn. 4. Infra VI, 5, 36.

οἰκεῖται] Sensus futurum tempus postulare videtur. Sed οἰκιεῖται nusquam significat: incoletur sive se habebit. Opinor scriptum fuisse οἰκήσει, unde ortum οἰκεῖται, deinceps οἰκιεῖται. De intransitiva verbi οἰκεῖν significatione cf. Plat. Legg. III, 16. p. 702. A: πῶς ποτ' ἂν πόλις ἄριστα οἰκοίη; Xen. Comment. I, 2, 64., ubi Sauppius cum Bornemanno recte e cod. F. recepit ἢ πόλεις τε καὶ οἶκοι εὖ οἰκοῦσι. Cyrop. VIII, 1, 2: ποῖαι δὲ πόλεις νομίμως ἂν οἰκήσειαν; Cf. infra IV, 8, 5. VII, 5, 5.

§. 33. ἐμβαλούσης τῆς νεώς] Quum ἔμβολον in hostilem navem iniecturus vehementer cum sua navi in illam irrumperet.

§. 34. αὐτοῖς ἀνδράσιν]

35 δ' ἄλλων ξυμμάχων πλείους ἢ ἑξήκοντα. Ἔδοξε δὲ καὶ
τοῖς τῶν Ἀθηναίων στρατηγοῖς ἑπτὰ μὲν καὶ τετταρά-
κοντα ναυσὶ Θηραμένην τε καὶ Θρασύβουλον, τριη-
ράρχους ὄντας, καὶ τῶν ταξιάρχων τινὰς πλεῖν ἐπὶ τὰς
καταδεδυκυίας ναῦς καὶ τοὺς ἐπ' αὐτῶν ἀνθρώπους,
ταῖς δ' ἄλλαις ἐπὶ τὰς μετ' Ἐτεονίκου τῇ Μιτυλήνῃ
ἐφορμούσας. Ταῦτα δὲ βουλομένους ποιεῖν ἄνεμος καὶ
χειμὼν αὐτοὺς διεκώλυσε μέγας γενόμενος· τρόπαιον δὲ
36 στήσαντες αὐτοῦ ηὐλίζοντο. Τῷ δ' Ἐτεονίκῳ ὁ ὑπη-
ρετικὸς κέλης πάντα ἐξήγγειλε τὰ περὶ τὴν ναυμαχίαν.
Ὁ δὲ αὐτὸν πάλιν ἐξέπεμψεν εἰπὼν τοῖς ἐνοῦσι σιω-
πῇ ἐκπλεῖν καὶ μηδενὶ διαλέγεσθαι, παραχρῆμα δὲ αὖ-
θις πλεῖν εἰς τὸ ἑαυτῶν στρατόπεδον ἐστεφανωμένους
καὶ βοῶντας, ὅτι Καλλικρατίδας νενίκηκε ναυμαχῶν καὶ
37 ὅτι αἱ τῶν Ἀθηναίων νῆες ἀπολώλασιν ἅπασαι. Καὶ
οἱ μὲν ταῦτ' ἐποίουν· αὐτὸς δ', ἐπειδὴ ἐκεῖνοι κατέ-
πλεον, ἔθυε τὰ εὐαγγέλια, καὶ τοῖς στρατιώταις παρήγ-
γειλε δειπνοποιεῖσθαι, καὶ τοῖς ἐμπόροις τὰ χρήματα
σιωπῇ ἐνθεμένους εἰς τὰ πλοῖα ἀποπλεῖν εἰς Χίον,
ἦν δὲ τὸ πνεῦμα οὔριον, καὶ τὰς τριήρεις τὴν ταχί-
38 στην. Αὐτὸς δὲ τὸ πεζὸν ἀπῆγεν εἰς τὴν Μήθυμναν,
τὸ στρατόπεδον ἐμπρήσας. Κόνων δὲ καθελκύσας τὰς
ναῦς, ἐπεὶ οἵ τε πολέμιοι ἀποδεδράκεσαν, καὶ ὁ ἄνε-
μος εὐδιαίτερος ἦν, ἀπαντήσας τοῖς Ἀθηναίοις ἤδη
ἀνηγμένοις ἐκ τῶν Ἀργινουσῶν ἔφρασε τὰ περὶ τοῦ
Ἐτεονίκου. Οἱ δὲ Ἀθηναῖοι κατέπλευσαν εἰς τὴν Μι-
τυλήνην, ἐκεῖθεν δ' ἐπανήχθησαν εἰς τὴν Χίον, καὶ οὐ-
δὲν διαπραξάμενοι ἀπέπλευσαν ἐπὶ Σάμου.

§. 35. *καὶ* post *δὲ* Schneid. II. et Dind. uncinis secludunt. — *ἑπτὰ* Schneid. ex D. reposuit pro *ἕξ*. — Vict. *διεκώλυσεν αὐτούς*.
§. 38. Y. *ἀπεδεδράκεσαν*. — A. C. E. edd. vett. *εὐδιαίρετος*.

Sine articulo etiam infra VI, 2, 35. Thucyd. IV, 14, 1: *ἔλαβον ναῦν μίαν αὐτοῖς ἀνδράσι.* Kühner. gr. schol. §. 283, 2. a. Buttmann. §. 133. adn. 14. Rost. gr. schol. §. 161, 9. addit. c.

§. 35. *ἑπτά*] Hunc numerum confirmat consensus cap. 7, 17 et 32.

§. 37. *τοῖς ἐμπόροις*] qui secuti exercitum commeatum suppeditabant.

τὴν ταχίστην] *ἀποπλεῖν* scil.

CAPUT VII.

ARGUMENTUM.

Praetores Atheniensium, quia suos, qui perierant in pugna, e mari non sustulerant, capitis omnes sunt damnati, frustraque eos defendit Euryptolemus. Interim Eteonicus in Chio penuria laborabat, ita ut eius milites conspiratione facta Chium diripere vellent. Sed eos prudenter cohibuit et accepta a Chiis pecunia iis solvit stipendium. Sed tamen Chii reliquique Lacedaemoniorum socii alium imperatorem, et Lysandrum quidem, petierunt. Lacedaemonii autem iis miserunt Aracum, Lysandro adiuncto legato.

Οἱ δ' ἐν οἴκῳ τούτους μὲν τοὺς στρατηγοὺς ἔπαυ- 1
σαν πλὴν Κόνωνος· πρὸς δὲ τούτῳ εἵλοντο Ἀδείμαν-
τον καὶ τρίτον Φιλοκλέα. Τῶν δὲ ναυμαχησάντων στρα-
τηγῶν Πρωτόμαχος μὲν καὶ Ἀριστογένης οὐκ ἀπῆλθον
εἰς Ἀθήνας, τῶν δὲ ἓξ καταπλευσάντων, Περικλέους 2
καὶ Διομέδοντος καὶ Λυσίου καὶ Ἀριστοκράτους καὶ
Θρασύλλου καὶ Ἐρασινίδου, Ἀρχέδημος ὁ τοῦ δήμου
τότε προεστηκὼς ἐν Ἀθήναις, καὶ τῆς διωβελίας ἐπι-
μελόμενος, Ἐρασινίδῃ ἐπιβολὴν ἐπιβαλὼν κατηγόρει ἐν

Cap. VII. §. 2. ὁ τοῦ δήμου ex B. margg. Steph. et Leoncl. inseruit Schneid. II.; Brückner. (*Zeitschr. f. A.-W.* 1839. no. 50.) mavult ὁ τοῦ δημοσίου. — διωβελίας dedit Dind. III., quum pro vulg. Δεκελείας B. C. Vict. διωκελίας, margg. Steph. et Leoncl. διωκελείας praebeant; Herbst. (*die Rückkehr des Alcibiades* p. 42.) coni. δεκατείας. — ἐπιμελόμενος B. D. Dind. II. III.; ceteri ἐπιμελούμενος. — ἐπιβολὴν B. D. Brod. Mor. seqq. edd.; antea ἐπιβουλήν.

Cap. VII. §. 1. οὐκ ἀπῆλθον] ad causam dicendam.

§. 2. ὁ τοῦ δήμου τότε προεστηκώς] Cf. Comment. II, 9, 4., ubi Archedemus ut magnus orator et gravissimus sycophantarum adversarius laudatur. Fuisse autem ol. 93, 3. demagogum valde potentem discimus ex Aristoph. Ran. 419: ὃς νυνὶ δημαγωγεῖ. V. Schneider. ad Comm. l. d. et Boeckh. *Staatshaush. d. Ath.* I. p. 311. ed. II.

τῆς διωβελίας] Zeunii et Schneideri sententia Archedemus Deceliae, unius e decem tribubus populi Atheniensis, fuit demarchus, qui e lege quadam, memorata apud Demosth. adv. Macart. p. 1069., pro civibus e demo Decelia occisis dixerit et duces navium, quod mortuos non sustulissent, accusaverit. Sed τῆς Δεκελείας ἐπιμελόμενος dici pro τῆς Δεκελείας δήμαρχος vix credibile est; accedit, quod tum temporis Deceliam Spartani tenebant. Egregia vero et loci sententiae

δικαστηρίῳ, φάσκων ἐξ Ἑλλησπόντου αὐτὸν ἔχειν χρή-
ματα ὄντα τοῦ δήμου· κατηγόρει δὲ καὶ περὶ τῆς στρα-
τηγίας. Καὶ ἔδοξε τῷ δικαστηρίῳ δῆσαι τὸν Ἐρασινί-
3 δην. Μετὰ δὲ ταῦτα ἐν τῇ βουλῇ διηγοῦντο οἱ στρα-
τηγοὶ περί τε τῆς ναυμαχίας καὶ τοῦ μεγέθους τοῦ
χειμῶνος. Τιμοκράτους δ' εἰπόντος, ὅτι καὶ τοὺς ἄλ-
λους χρὴ δεθέντας εἰς τὸν δῆμον παραδοθῆναι, ἡ βου-
4 λὴ ἔδησε. Μετὰ δὲ ταῦτα ἐκκλησία ἐγένετο, ἐν ᾗ τῶν
στρατηγῶν κατηγόρουν ἄλλοι τε καὶ Θηραμένης μάλι-
στα, δικαίους εἶναι λέγων λόγον ὑποσχεῖν, διότι οὐκ
ἀνείλοντο τοὺς ναυαγούς. Ὅτι μὲν γὰρ οὐδενὸς ἄλλου
καθήπτοντο, ἐπιστολὴν ἐπεδείκνυε μαρτύριον, ἣν ἔπεμ-
ψαν οἱ στρατηγοὶ εἰς τὴν βουλὴν καὶ εἰς τὸν δῆμον,
5 ἄλλο οὐδὲν αἰτιώμενοι ἢ τὸν χειμῶνα. Μετὰ δὲ ταῦτα
οἱ στρατηγοὶ βραχέα ἕκαστος ἀπελογήσατο, οὐ γὰρ προὐ-

§. 4. λέγων λόγον in solo cod. A. legitur. — ἐπεδείκνυε B. Schneid. II. Dind. pro ἐπεδείκνυ. — ἣν pro καί, suadente Stephano, dederunt Wells. Dind. II. III.; idem vertit Leoncl.

maxime conveniens est Dindorfii emendatio. Dabantur enim cuique civi diebus quibus spectacula edebantur bini oboli. Harum pecuniarum cura imprimis erat demagogi. Quam ob causam Archedemus Erasinidem accusat, quod pecunias ex Hellesponto redeuntes avertisset, quae ad commodum populi converti poterant. Fortasse Archedemus simul erat unus ἐκ τῶν ἑλληνοταμιῶν, quorum erat administratio τοῦ θεωρικοῦ. V. Boeckh. l. d. Pecuniis publicis illum praefuisse colligendum videtur Brücknero e Lys. in Alcib. I. §. 25: οὗτος γὰρ παῖς μὲν ὢν παρ' Ἀρχηδήμῳ τῷ γλάμωνι, οὐκ ὀλίγα τῶν ὑμετέρων ὑφῃρημένῳ.

ἐπιβολὴν ἐπιβαλών] mulctam irrogans, quod facere licebat cuivis magistratui, etiamsi actio non esset instituta. Hermann. *Gr. Staatsalterth.* §. 137, 10. Meier. et Schoemann. *Att. Proc.* p. 34.

§. 3. ἔδησε] in vincula coniici iussit. V. Kühnerum ad Comment. IV, 4, 5.

§. 4. δικαίους εἶναι] dignos esse, qui; cf. Buttm. gr. §. 151, 7. c.

ἣν ἔπεμψαν] Hertlinius (Progr. Werth. 1836. p. 9.) defendens vulgatum καί delegat ad Duker. ad Thucyd. VIII, 73., Wessel. ad Diodor. IV, 75. et XIII, 25. et ad Poppo. ad Thucyd. Vol. I. P. I. p. 291. Quae vero inde affert exempla, velut Anab. I, 2, 6. 8, 26., Thucyd. VI, 4., nostro loco sunt prorsus dissimilia. Postremo loco *Πάμιλλον πέμψαντες Σελινοῦντα κτίζουσι· καὶ ἐκ Μεγάρων τῆς μητροπόλεως οὔσης αὐτοῖς ἐπελθὼν ξυγκατῴκισε* verte: atque e Megaris Graeciae profectus Selinuntem cum suis et iis, quos (Megaris Hyblaeis) secum duxerat, ibidem domicilium sibi fecit. Omnibus quos collectos video locis καί, quanquam per qui reddi potest, nihil tamen est nisi atque, ita

τέθη σφίσι λόγος κατὰ τὸν νόμον, καὶ τὰ πεπραγμένα διηγοῦντο, ὅτι αὐτοὶ μὲν ἐπὶ τοὺς πολεμίους πλέοιεν, τὴν δὲ ἀναίρεσιν τῶν ναυαγῶν προςτάξαιεν τῶν τριηράρχων ἀνδράσιν ἱκανοῖς καὶ ἐστρατηγηκόσιν ἤδη, Θηραμένει καὶ Θρασυβούλῳ καὶ ἄλλοις τοιούτοις· καὶ 6
εἴπερ γέ τινας δέοι, περὶ τῆς ἀναιρέσεως οὐδένα ἄλλον ἔχειν αὐτοὺς αἰτιάσασθαι ἢ τούτους, οἷς προςετάχθη. Καὶ οὐχ, ὅτι γε κατηγοροῦσιν ἡμῶν, ἔφασαν, ψευσόμεθα φάσκοντες αὐτοὺς αἰτίους εἶναι, ἀλλὰ τὸ μέγεθος τοῦ χειμῶνος εἶναι τὸ κωλῦσαν τὴν ἀναίρεσιν. Τούτων δὲ μάρτυρας παρείχοντο τοὺς κυβερνήτας καὶ ἄλλους τῶν ξυμπλεόντων πολλούς. Τοιαῦτα λέγοντες ἔπει- 7
θον τὸν δῆμον· ἐβούλοντο δὲ πολλοὶ τῶν ἰδιωτῶν ἐγγυᾶσθαι ἀνιστάμενοι· ἔδοξε δὲ ἀναβαλέσθαι εἰς ἑτέραν ἐκκλησίαν· τότε γὰρ ὀψὲ ἦν, καὶ τὰς χεῖρας οὐκ ἂν καθεώρων· τὴν δὲ βουλὴν προβουλεύσασαν εἰςενεγκεῖν,

§. 5. D. Μετὰ ταῦτα δέ. — B. D. Steph. βραχέως, C. βράχεος. — Schwidop. postulat ἀπελογήσαντο.

§. 6. αἰτιάσασθαι B. C. D. Vict.

usurpatum, ut novam actionem cum quadam consequentiae notione introducat, vel significat etiam, ut Anab. I, 8, 26: καὶ ἰᾶσθαι αὐτὸς τὸ τραῦμά φησι. Quod quidem genus spectat ad notum illum usum, quo ex enuntiatione relativa transire amant Graeci in liberam orationem. V. adn. ad Oecon. IV, 1. A quo genere dicendi hic locus omnino abhorret. Nam καί, sive per atque sive per etiam vertis, sententiarum nexui non convenit. Aliter quoque se habet V, 3, 13: καὶ τότε τῶν κατεληλυθότων ἦσαν.

§. 5. οἱ στρατηγοὶ — ἕκαστος ἀπελογήσατο] Sic saepe praedicati forma non subiecto, sed appositioni distributivae accommodatur. Kühner ad Anab. I, 8, 9. Eiusd. gr. max. §. 509.

προυτέθη — λόγος] Dictio propria de libera se defendendi potestate, quam dare magistratus erat, qui iudicio praesidebat. Schoem. de comit. Att. p. 59 seqq.

πλέοιεν] Exspectas fortasse πλεύσειεν. Sed v. infra V, 2, 2. συστρατεύοιεν et II, 2, 17. κατέχει. Sequitur autem aoristus προςτάξαιεν, quia hoc prius factum est, quam adversus hostes navigarent.

§. 6. κατηγοροῦσιν] Hoc non simul ad Thrasybulum pertinere, sed ad solum Theramenem eiusque socios, patet ex §. 4., §. 8. et maxime ex §. 31. V. Hinrichs. de Theram., Crit. et Thrasyb. rebus et ingenio p. 18. et 57.

ἀλλὰ τὸ μέγεθος] Ex ψευσόμεθα intellige verbum contrariae significationis. Buttmann. §. 151. VIII. Rost. gr. schol. §. 190, 5.

§. 7. ἔπειθον] persuadere studebant. Item ἔπειθεν Anab. VI, 1, 19. VII, 2, 2. Vid. Kühner. ad I, 3, 1. Buttm. §. 137. adn. 10. Rost. gr. schol. §. 150. adn. 9.

τὴν δὲ βουλὴν προβουλεύσασαν] Ex legibus Atheniensium a senatu antea deliberanda erant de quibus populus

8 ὅτῳ τρόπῳ οἱ ἄνδρες κρίνοιντο. Μετὰ δὲ ταῦτα ἐγένετο Ἀπατούρια, ἐν οἷς οἵ τε πατέρες καὶ οἱ ξυγγενεῖς ξύνεισι σφίσιν αὐτοῖς. Οἱ οὖν περὶ τὸν Θηραμένην παρεσκεύασαν ἀνθρώπους μέλανα ἱμάτια ἔχοντας καὶ ἐν χρῷ κεκαρμένους πολλοὺς ἐν ταύτῃ τῇ ἑορτῇ, ἵνα πρὸς τὴν ἐκκλησίαν ἥκοιεν, ὡς δὴ ξυγγενεῖς ὄντες τῶν ἀπολωλότων, καὶ Καλλίξενον ἔπεισαν ἐν τῇ βουλῇ κα-
9 τηγορεῖν τῶν στρατηγῶν. Ἐντεῦθεν ἐκκλησίαν ἐποίουν, εἰς ἣν ἡ βουλὴ εἰςήνεγκε τὴν ἑαυτῆς γνώμην, Καλλιξένου εἰπόντος, τήνδε· Ἐπειδὴ τῶν τε κατηγορούντων κατὰ τῶν στρατηγῶν καὶ ἐκείνων ἀπολογουμένων ἐν τῇ προτέρᾳ ἐκκλησίᾳ ἀκηκόασι, διαψηφίσασθαι Ἀθηναίους ἅπαντας κατὰ φυλάς· θεῖναι δὲ εἰς τὴν φυλὴν ἑκάστην δύο ὑδρίας· ἐφ' ἑκάστῃ δὲ τῇ φυλῇ κήρυκα κηρύττειν, ὅτῳ δοκοῦσιν ἀδικεῖν οἱ στρατηγοὶ οὐκ ἀνελόμενοι τοὺς νικήσαντας ἐν τῇ ναυμαχίᾳ, εἰς τὴν προτέ-
10 ραν ψηφίσασθαι, ὅτῳ δὲ μή, εἰς τὴν ὑστέραν· ἂν δὲ δόξωσιν ἀδικεῖν, θανάτῳ ζημιῶσαι καὶ τοῖς ἕνδεκα πα-

§. 8. Vict. *ἐγίγνετο Ἀπατ.* — Brunck. et Zeun. malebant *φράτορες* pro *πατέρες*.

§. 9. A. edd. vett. *Ἐπεὶ δὲ* pro *Ἐπειδή*. — E. om. *τε* post *τῶν*. — *κατὰ* ante *τῶν στρ.* Steph. deleri voluit. — B. *ἐν τῇ προτερείᾳ*; marg. Steph. *ἐν τῇ προτεραίᾳ*. — Edd. vett. *ἀκηκόατε*. — B. *ἅπαντας*, quod recepi pro *πάντας*.

§. 12. *προςεκαλέσαντο*, Mori emendationem, Weisk. Schneid. II. Dind. pro *προεκαλ.* reposuerunt. — Weisk., suadente Koeppenio, inseruit *καὶ Ἀξίοχος* ante *καὶ ἄλλοι*, coll. dialogo, qui inscri-

deinceps decerneret. V. Hermann. *Gr. Staatsalterth.* §. 125.

§. 8. *Ἀπατούρια*] Herod. I, 147. Agebantur Pyanepsione mense sive primis auctumni diebus. His infantes recens nati in phratriae catalogum referebantur. Duodecim autem phratriae inter se habebant conventus, in quibus gentis et communium sacrorum originem celebrabant. Hermann. l. d. §. 100, 10.

πατέρες] *φράτορες* erant curiales, i. e. eiusdem *φρατρίας*, ut Suidas, *ἐπειδή*, inquit, *φράτορες ὀψίας συνελθόντες εὐωχοῦντο*. Sed quoniam adiiciuntur *οἱ ξυγγενεῖς*, quo nomine eodem Suida et Hesychio testibus dicuntur curiales, *πατέρες* servandum videtur.

§. 9. *κατὰ τῶν στρατηγῶν*] Praepositionem Schneiderus recte ita defendit, ut ad ambiguitatem genitivi vitandam insertum esse dicat.

§. 10. *τοῖς ἕνδεκα*] Undecim viri erant magistratus, quibus rei, postquam capitis damnati erant, tradebantur custodiendi et supplicio afficiendi. Meier. et Schoem. *Att. Proc.* p. 68 seqq.

ἐπιδέκατον] Dictio forensis pro *δέκατον*. Demosth. c. Macart. §. 71. *τὸ ἐπιδέκατον τούτου τῆς θεοῦ εἶναι.* De re ipsa v. Boeckh. *Staatshaush. der Ath.* I. p. 445. et 519. ed. II.

ϱαδοῦναι καὶ τὰ χϱήματα δημοσιευσαι, τὸ δ' ἐπιδέκατον τῆς θεοῦ εἶναι. Παϱῆλθε δέ τις εἰς τὴν ἐκκλη- 11
σίαν φάσκων ἐπὶ τεύχους ἀλφίτων σωθῆναι· ἐπιστέλλειν δ' αὐτῷ τοὺς ἀπολλυμένους, ἐὰν σωθῇ, ἀπαγγεῖλαι τῷ δήμῳ, ὅτι οἱ στϱατηγοὶ οὐκ ἀνείλοντο τοὺς ἀϱίστους ὑπὲϱ τῆς πατϱίδος γενομένους. Τὸν δὲ Καλ- 12
λίξενον πϱοσεκαλέσαντο παϱάνομα φάσκοντες ξυγγεγϱαφέναι Εὐϱυπτόλεμός τε ὁ Πεισιάνακτος καὶ ἄλλοι τινές· τοῦ δὲ δήμου ἔνιοι ταῦτα ἐπῄνουν, τὸ δὲ πλῆθος ἐβόα δεινὸν εἶναι, εἰ μή τις ἐάσει τὸν δῆμον πϱάττειν ὃ ἂν βούληται. Καὶ ἐπὶ τούτοις εἰπόντος Λυκί- 13
σκου καὶ τούτους τῇ αὐτῇ ψήφῳ κϱίνεσθαι, ᾗπεϱ καὶ τοὺς στϱατηγούς, ἐὰν μὴ ἀφῶσι τὴν ἐκκλησίαν, ἐπεθοϱύβησε πάλιν ὁ ὄχλος, καὶ ἠναγκάσθησαν ἀφιέναι τὰς κλήσεις. Τῶν δὲ πϱυτάνεών τινων οὐ φασκόντων 14
πϱοθήσειν τὴν διαψήφισιν παϱὰ τοὺς νόμους, αὖθις Καλλίξενος ἀναβὰς κατηγόϱει αὐτῶν τὰ αὐτά. Οἱ δὲ ἐβόων καλεῖν τοὺς οὐ φάσκοντας. Οἱ δὲ πϱυτάνεις φο- 15

bitur Ἀξίοχος, 378. — τινές· τοῦ δὲ δήμου ἔνιοι τ. ἐπ. B. D. Vict. margg. Steph. et Leoncl. Schneid. II. Dind.; antea legebatur καὶ ἄλλοι τινὲς τοῦ δήμου τ. ἐπ. — Weisk. ἐάσαι δῆμον.

§. 13. Dind. III. ἀφῶσι· τὴν κλῆσιν, quod postulavit Dobraeus.

§. 14. τινῶν addunt Athen. p. 217. B. C. D. E. Y. Vict. Wolf. Schneid. II. Dind. — B. D. edd. vett. πϱοςθήσειν. — τοὺς νόμους Athen. A. B. C. D. E. Schneid. II. Dind. pro τὸν νόμον. — τὰ αὐτά om. Athen.

τῆς θεοῦ] Ἀθηνᾶς.

§. 12. πϱοςεκαλέσαντο] Harpocrat.: πϱόςκλησις ἡ εἰς δικαστήϱιον κλῆσις, καὶ πϱοςκαλεῖσθαι τὸ παϱαγγέλλειν εἰς δίκην. Hermann. l. d. §. 140, 2. Meier. et Schoem. l. d. p. 576.

παϱάνομα — ξυγγεγϱαφέναι] Callixeni rogationem legibus non convenire.

§. 13. ἐὰν μὴ ἀφῶσι τὴν ἐκκλησίαν] Cf. Cyrop. I, 2, 2: Αἱ μὲν γὰϱ πλεῖσται πόλεις ἀφεῖσαι παιδεύειν, ὅπως τις ἐθέλει, τοὺς ἑαυτῶν παῖδας. Si hoc est: parentum arbitrio relinquere liberorum educandorum rationem, quidni dicere liceat: ἀφεῖναι τὴν ἐκκλησίαν eo sensu, ut sit: permittere concioni, ut agat in reos, quomodo animus iubeat? Hoc enim sententiae supplementum in tanto actionis tumultu atque in tali animorum commotione omitti facillime poterat, praesertim quum ex postremis antecedentis paragraphi verbis: δεινὸν εἶναι, εἰ μή τις — ὃ ἂν βούληται, vim et sensum illorum verborum nemo non intelligeret.

§. 14. Τῶν δὲ πϱυτάνεων] V. Hermann. *Gr. Staatsalterth.* §. 127.

καλεῖν] scil. εἰς δίκην.

βηθέντες ὡμολόγουν πάντες προθήσειν πλὴν Σωκράτους τοῦ Σωφρονίσκου· οὗτος δ' οὐκ ἔφη ἀλλ' ἢ
16 κατὰ νόμον πάντα ποιήσειν. Μετὰ δὲ ταῦτα ἀναβὰς Εὐρυπτόλεμος ἔλεξεν ὑπὲρ τῶν στρατηγῶν τάδε.

Τὰ μὲν κατηγορήσων, ὦ ἄνδρες Ἀθηναῖοι, ἀνέβην ἐνθάδε, Περικλέους ἀναγκαίου μοι ὄντος καὶ ἐπιτηδείου καὶ Διομέδοντος φίλου, τὰ δ' ὑπεραπολογησόμενος, τὰ δὲ ξυμβουλεύσων, ἅ μοι δοκεῖ ἄριστα εἶ-
17 ναι ἁπάσῃ τῇ πόλει. Κατηγορῶ μὲν οὖν αὐτῶν, ὅτι ἔπεισαν τοὺς ξυνάρχοντας βουλομένους πέμπειν γράμματα τῇ τε βουλῇ καὶ ὑμῖν, ὅτι ἐπέταξαν τῷ Θηραμένει καὶ Θρασυβούλῳ τετταράκοντα καὶ ἑπτὰ τριήρεσιν
18 ἀνελέσθαι τοὺς ναυαγούς, οἱ δὲ οὐκ ἀνείλοντο. Εἶτα νῦν τὴν αἰτίαν κοινὴν ἔχουσιν, ἐκείνων ἰδίᾳ ἁμαρτόντων, καὶ ἀντὶ τῆς τότε φιλανθρωπίας νῦν ὑπ' ἐκείνων τε καί τινων ἄλλων ἐπιβουλευόμενοι κινδυνεύουσιν
19 ἀπολέσθαι· οὔκ, ἂν ὑμεῖς γέ μοι πείθησθε τὰ δίκαια καὶ ὅσια ποιοῦντες καὶ ὅθεν μάλιστα τἀληθῆ πεύσε-

§. 15. Athen. ἅπαντες. — προςθήσειν ut §. 14. — Athen. ἄλλα ἤ; ἀλλ' ἢ pro vulg. ἄλλ' ἢ restituit cum Wolfio Weisk. — Schneid. ex Athen. dat κατὰ τοὺς νόμους. — πάντα ex Athen. et B. interseruerunt Schneid. II. Dind. II. III.

§. 17. Pro ἔπεισαν Goldhagen. maluit ἔπαυσαν, Brückner. μετέπεισαν.

§. 18. B. C. ἐπ' ἐκείνων, idem D. a pr. m.

§. 19. Cast. Bryl. οὐκοῦν pro οὔκ. — Ante Schneid. edebatur πείθοισθε, quod iam correxit Steph.; πείθησθε dant B. C. D. Vict. — Ante Weisk. legebatur μάλιστ' ἀληθῆ. — Vulg. εἰς τὰ μέγιστα θεοὺς Bryl. et Cast. mutaverunt in εἰς τὰ μέγιστα εἰς

§. 15. πλὴν Σωκράτους] Cf. Comment. I, 1, 18. IV, 4, 2. Plat. Apol. p. 32. B: ὅτε ὑμεῖς τοὺς δέκα στρατηγοὺς τοὺς οὐκ ἀνελομένους τοὺς ἐκ τῆς ναυμαχίας ἐβουλεύσασθε ἀθρόους κρίνειν παρανόμως, τότ' ἐγὼ μόνος τῶν πρυτάνεων ἠναντιώθην ὑμῖν.

§. 17. ἔπεισαν] scil. μὴ πέμπειν, quod, quoniam facile subauditur, propter enuntiationis longitudinem addere praetermisit scriptor. Vide infra IV, 4, 5., ubi post πείθειν simili ratione intelligendum est μὴ ἀποχωρεῖν sive μὴ ποιεῖν. Quod Goldhagenius proposuit ἔπαυσαν ne ferri quidem potest, quia non ἔπαυσαν — βουλομένους πέμπειν, sed ἔπαυσαν — πέμποντας dicendum erat.

πέμπειν γράμματα — ὅτι] ὅτι ponitur, ac si γράφειν antecederet.

§. 18. Εἶτα] Ita evenit, ut—.

§. 19. οὐκ] Repete: κινδυνεύουσιν ἀπολέσθαι sive ἀπολοῦνται.

καὶ ὅθεν] Commate ante καὶ deleto, cum Petero haec verba sic intelligo: καὶ ποιοῦντες ὅθεν sive ταῦτα ἐξ ὧν — πεύσεσθε sive καὶ ταῦτα ποιοῦντες, ἅπερ ποιήσαντες πεύσεσθε. Qua ratione mutatione

σθε, καὶ οὐ μετανοήσαντες ὕστερον εὑρήσετε σφᾶς αὐ-
τοὺς ἡμαρτηκότας τὰ μέγιστα εἰς θεούς τε καὶ ὑμᾶς
αὐτούς. Ξυμβουλεύω δ' ὑμῖν, ἐν οἷς οὔθ' ὑπ' ἐμοῦ
οὔθ' ὑπ' ἄλλου οὐδενός ἐστιν ἐξαπατηθῆναι ὑμᾶς, καὶ
τοὺς ἀδικοῦντας εἰδότες κολάσεσθε, ᾗ ἂν βούλησθε
δίκῃ, καὶ ἅμα πάντας καὶ καθ' ἕνα ἕκαστον, εἰ μὴ
πλέον, ἀλλὰ μίαν ἡμέραν δόντες αὐτοῖς ὑπὲρ αὐτῶν
ἀπολογήσασθαι, μὴ ἄλλοις μᾶλλον πιστεύοντες ἢ ὑμῖν
αὐτοῖς. Ἴστε δέ, ὦ ἄνδρες Ἀθηναῖοι, πάντες, ὅτι τὸ 20
Καννωνοῦ ψήφισμά ἐστιν ἰσχυρότατον, ὃ κελεύει, ἐάν
τις τὸν τῶν Ἀθηναίων δῆμον ἀδικῇ, δεδεμένον ἀποδι-
κεῖν ἐν τῷ δήμῳ, καὶ ἐὰν καταγνωσθῇ ἀδικεῖν, ἀπο-
θανεῖν εἰς τὸ βάραθρον ἐμβληθέντα, τὰ δὲ χρήματα
αὐτοῦ δημευθῆναι καὶ τῆς θεοῦ τὸ ἐπιδέκατον εἶναι.
Κατὰ τοῦτο τὸ ψήφισμα κελεύω κρίνεσθαι τοὺς στρα- 21
τηγούς, καὶ νὴ Δία, ἂν ὑμῖν γε δοκῇ, πρῶτον Περι-
κλέα τὸν ἐμοὶ προσήκοντα· αἰσχρὸν [γάρ] μοί ἐστιν
ἐκεῖνον περὶ πλείονος ποιεῖσθαι ἢ τὴν πόλιν. Τοῦτο 22

θεούς, quod praeferebat Koeppen., Mor. Zeun. Weisk. Schneid. II. Dind. in τὰ μέγιστα εἰς θεούς. — ἄλλου οὐδενὸς B. D. E. Dind. pro οὐδενὸς ἄλλου. — C. om. εἰδότες; A. B. D. E. dant εἰδότας, quod correxerunt Bryl. Cast. margg. Steph. et Leoncl. Wells. et seqq. edd. — Vict. κολάσασθαι. — Leoncl. Wells. βούλεσθαι. — Mor. Schneid. Weisk. Dind. μηδ' ἄλλοις.

§. 20. C. πάντως. — Dind. I. II. Καννώνου; Dind. III. Καννωνοῦ; antea Κανώνου; C. Y. Καννώνους. — ἀποθανεῖν — ἐμβληθέντα dedit Dind. III. pro ἀποθανόντα — ἐμβληθῆναι.

§. 21. γάρ, quod habent Bryl. Cast., coniecerunt Brod. Steph., receperunt Schneid. Weisk. Dind. — B. τὴν ὅλην πόλιν.

Schneideri, qui verba καὶ ὅθεν — ὑμᾶς αὐτοὺς transponenda censet post ἐξαπατηθῆναι ὑμᾶς, facile supersedemus.

σφᾶς αὐτούς] i. e. ὑμᾶς αὐτούς.

μὴ ἄλλοις] Librorum scripturam revocavi. Continent enim haec et sequentia verba causam, cur diem reis ad causam dicendam dari velit Euryptolemus. Hoc postulat non solum, quia aequum est, sed maxime, ne eo, quod legitimum causae dicendae tempus non dent, aliorum potius quam suo iudicio obnoxii sint.

§. 20. Καννωνοῦ] Hesychius: Καννωνοῦ ψήφισμα· εἰςήνεγκε γὰρ οὗτος ψήφισμα, ὥςτε διειλημμένους τοὺς κρινομένους ἑκατέρωθεν ἀπολογεῖσθαι. Statutum igitur erat Cannoni lege, et ut, ἐάν τις τὸν δῆμον ἀδικῇ, vinctus in iudicium duceretur ibique causam diceret, et ut, si plures eiusdem criminis publici rei agerentur, non omnes simul iudicarentur, sed singuli suam quisque causam dicerent atque audirentur. Cf. Aristoph. Eccles. 1089.

εἰς τὸ βάραθρον] βάρ. s. ὄρυγμα erat vorago sita in demo Κειριάδαι, de qua Schol. Aristoph. Plut. 431. haec tradit:

7*

δ' εἰ βούλεσθε, κατὰ τόνδε τὸν νόμον κρίνατε, ὅς ἐστιν ἐπὶ τοῖς ἱεροσύλοις καὶ προδόταις, ἐάν τις ἢ τὴν πόλιν προδιδῷ ἢ τὰ ἱερὰ κλέπτῃ, κριθέντα ἐν δικαστηρίῳ, ἂν καταγνωσθῇ, μὴ ταφῆναι ἐν τῇ Ἀττικῇ,
23 τὰ δὲ χρήματα αὐτοῦ δημόσια εἶναι. Τούτων ὁποτέρῳ βούλεσθε, ὦ ἄνδρες Ἀθηναῖοι, τῷ νόμῳ κρινέσθωσαν οἱ ἄνδρες κατὰ ἕνα ἕκαστον, διῃρημένων τῆς ἡμέρας τριῶν μερῶν, ἑνὸς μέν, ἐν ᾧ ξυλλέγεσθαι ὑμᾶς δεῖ καὶ διαψηφίζεσθαι, ἐάν τε ἀδικεῖν δοκῶσιν ἐάν τε μή, ἑτέρου δ', ἐν ᾧ κατηγορῆσαι, ἑτέρου δ', ἐν ᾧ ἀπολογή-
24 σασθαι. Τούτων δὲ γιγνομένων, οἱ μὲν ἀδικοῦντες τεύξονται τῆς μεγίστης τιμωρίας, οἱ δ' ἀναίτιοι ἐλευθερωθήσονται ὑφ' ὑμῶν, ὦ Ἀθηναῖοι, καὶ οὐκ ἀδικοῦν-

§. 22. Schneid. II. Dind. III., quod volebant Goldhagen. Mor. Zeun., *εἰ μὴ βούλεσθε* scribunt, sed Schneid. *μὴ* uncinis inclusit. — Vulg. *τοῦτον τὸν νόμον*; B. C. D. *τόνδε νόμον*, unde Dind. II. III. *τόνδε τὸν νόμον*. — B. Vict. *προδῷ*. — Vulg. et A. C. *κατακριθέντα*, E. *κριθέντες*, B. *κριθήσεται*, D. Vict. Steph. Wells. Dind. II. III. *κριθέντα*.

§. 23. Classen. postulat *τῶν νόμων*. — Buttmann. Demosth. Mid. ind. p. 177. scribendum censet *καθ' ἕνα ἕκαστος*, cui assentitur Schwidop. — A. B. C. D. edd. ante Leoncl. *διῃρημένης*. — B. C. E. edd. ante Leoncl. *ἡμερῶν* pro *μερῶν*. — A. Ald. *δεῖ τι διαψηφίζεσθαι*; Brod. *τί διαψηφίζεσθε*; Bryl. Cast. *τί χρὴ διαψηφίζεσθαι*; primus Steph. edidit *δεῖ καὶ διαψηφίζεσθαι*, quod est in B. D. C. Vict.

χάσμα τι φρεατῶδες καὶ σκοτεινὸν —, ἐν δὲ τῷ χάσματι τούτῳ ὑπῆρχον ὄγκινοι οἱ μὲν ἄνω, οἱ δὲ κάτω. Wachsmuth. *Hellen. Alterthumsk.* II. p. 204. Classenius, qui tuetur vulgatam lectionem, nescio quo nisus testimonio, non solum vivos, sed etiam mortuos esse dicit in voraginem deiectos.

§. 22. *Τοῦτο δ' εἰ βούλεσθε*] Plerumque *οὗτος* ad antecedentia, *ὅδε* ad sequentia spectat. Occurrunt tamen loci, ubi utrumque pronomen contraria ratione usurpatur. V. Matth. gr. §. 470, 1. et imprimis Kühnerum ad Comment. I, 2, 3. et ad Anab. II, 5, 10. Nihil igitur impedit, quin *τοῦτο* non minus quam *τόνδε* referamus ad sequentia, praesertim quum liceat opinari Xenophontem scripsisse *τοῦτον τὸν νόμον*, unde ortum *τοῦτον νόμον*, quod librarius mutavit in *τόνδε νόμον*. — Alterum locum, ubi *εἰ δὲ βούλει* est: si malueris, citat Wolfius: Plat. Men. p. 71. C: *Ἀνάμνησον οὖν με, πῶς ἔλεγεν· εἰ δὲ βούλει, αὐτὸς εἰπέ.*

κριθέντα] Morus opinatur *κατακριθέντα* esse genuinum, cui interpretationis causa appositum sit a librario *ἂν καταγνωσθῇ*, id quod veritatis speciem prae se fert, si modo meliores codd. praeberent *κατακριθέντα*.

§. 23. *ὁποτέρῳ — τῷ νόμῳ*] Classenii coniectura non opus est. V. Plat. Phaed. p. 79: *ποτέρῳ οὖν ὁμοιότερον τῷ εἴδει φαῖμεν ἂν εἶναι — τὸ σῶμα;* Gorg. p. 520: *ἐπὶ ποτέραν οὖν με παρακαλεῖς τὴν θεραπείαν;* Kühner. gr. max. §. 841.

τες ἀπολοῦνται. Ὑμεῖς δὲ κατὰ τὸν νόμον εὐσεβοῦν- 25
τες καὶ εὐορκοῦντες κρινεῖτε καὶ οὐ ξυμπολεμήσετε
Λακεδαιμονίοις τοὺς ἐκείνους ἑβδομήκοντα ναῦς ἀφε-
λομένους καὶ νενικηκότας, τούτους ἀπολλύντες ἀκρί-
τους παρὰ τὸν νόμον. Τί δὲ καὶ δεδιότες σφόδρα οὕ- 26
τως ἐπείγεσθε; ἢ μὴ οὐχ ὑμεῖς ὃν ἂν βούλησθε ἀπο-
κτείνητε καὶ ἐλευθερώσητε, ἂν κατὰ τὸν νόμον κρίνη-
τε, ἀλλ' οὐκ, ἂν παρὰ τὸν νόμον, ὥςπερ Καλλίξενος
τὴν βουλὴν ἔπεισεν, εἰς τὸν δῆμον εἰςενεγκεῖν μιᾷ ψή-
φῳ; Ἀλλ' ἴσως ἄν τινα καὶ οὐκ αἴτιον ὄντα ἀποκτεί- 27
ναιτε, μεταμελῆσαι δὲ ὕστερον ἀναμνήσθητε ὡς ἀλγει-
νὸν καὶ ἀνωφελὲς ἤδη ἐστί, πρὸς δ' ἔτι καὶ περὶ θα-
νάτου ἀνθρώπου ἡμαρτηκότες. Δεινὰ δ' ἂν ποιήσαιτε, 28

§. 24. Cast. Bryl. ediderunt καὶ οἱ ἀδικοῦντες; Leoncl. Wells. οὐκ ἀδίκως; Koeppen. οὐκ οὐδὲν ἀδικοῦντες; Schneid. ex Steph. emendatione dedit οὐχ ὡς ἀδικοῦντες.

§. 26. Classen. mavult ἦ μὴ et ἀλλ' οὔκ. — A. E. Ald. Iunt. ἐλευθερωθήσεται; Cast. Bryl. ἐλευθερωθήσηται; ἐλευθερώσητε dat etiam Vict.

§. 27. Vulg. ἀποκτείνητε; B. ἀποκτείνετε; E. ἀποκτήνειτε; ἀποκτείναιτε Vict. Dind. — Suadente Petero, pro vulg. μεταμελήσει scripsi μεταμελῆσαι, deleto puncto, quod erat post ὕστερον; Vict. μεταμελήσῃ. — ἀνθρώπου pro ἀνθρώπους dedit Dind.

§. 28. Ante Schneid. II. legebatur ποιήσητε.

διῃρημένων] Cyropaed. I, 2, 5: δώδεκα Περσῶν φυλαὶ διῄρηνται. Buttmann. gr. §. 131. adn. 9. Rost. gr. schol. §. 160, 5. addit. Kühner. gr. schol. §. 280, 3.

§. 24. οὐκ ἀδικοῦντες ἀπολοῦνται] Haec lectio firmata est iis, quae Goellerus ad Thucyd. I, 12. et Poppo in comment. ad Thucyd. Vol. I. p. 127. disserunt. Inspice modo hos tres locos: Hellen. III, 5, 18: οὐκέτι ἡσυχίαν ἔχων ἀνέμενον, Thucyd. I, 12: ὥςτε μὴ ἡσυχάσασα αὐξηθῆναι, ibid. VI, 33: οὐ καταφοβηθεὶς ἐπισχήσω. Omnibus his locis dicitur aliquid non esse factum: οὐκέτι — ἀνέμενον, μὴ — αὐξηθῆναι, οὐ — ἐπισχήσω. Omnibus his locis per participium causa additur, cur illud non sit factum: οὐκέτι ἡσυχίαν ἔχων, μὴ ἡσυχάσασα, οὐ καταφοβηθείς. Omnibus his locis non duae, sed una tantum negatio posita est, quae pertinet ad totam sententiam. Non aliter se habet hic locus. Etenim οὐκ ἀδικοῦντες causam continet, qua οὐκ ἀπολοῦνται. Quam ob causam h. l. eodem iure atque illis tribus et multis aliis locis una negatio sufficit.

§. 26. ὥςπερ] i. e. ea scilicet ratione, qnam inire senatui Callixenus proposuit.

εἰς τὸν δῆμον εἰςενεγκεῖν μιᾷ ψήφῳ] scil. κρίνειν, i. e. ut ad populum de iudicandis omnibus eodem suffragio referretur. Cf. §. 7.

§. 27. μεταμελῆσαι δὲ ὕστερον ἀναμνήσθητε]

εἰ Ἀριστάρχῳ μέν, πρότερον τὸν δῆμον καταλύοντι, εἶτα δὲ Οἰνόην προδιδόντι Θηβαίοις πολεμίοις οὖσιν, ἔδοτε ἡμέραν ἀπολογήσασθαι ᾗ ἐβούλετο καὶ τἆλλα κατὰ τὸν νόμον προὔθετε, τοὺς δὲ στρατηγοὺς τοὺς πάντα ὑμῖν κατὰ γνώμην πράξαντας, νικήσαντας δὲ τοὺς πολεμί-
29 ους, τῶν αὐτῶν τούτων ἀποστερήσετε. Μὴ ὑμεῖς γε, ὦ Ἀθηναῖοι, ἀλλ᾽ ἑαυτῶν ὄντας τοὺς νόμους, δι᾽ οὓς μάλιστα μέγιστοί ἐστε, φυλάττοντες ἄνευ τούτων μηδὲν πράττειν πειρᾶσθε. Ἐπανέλθετε δὲ καὶ ἐπ᾽ αὐτὰ τὰ πράγματα, καθ᾽ ἃ καὶ αἱ ἁμαρτίαι δοκοῦσι γεγενῆσθαι τοῖς στρατηγοῖς. Ἐπεὶ γὰρ κρατήσαντες τῇ ναυμαχίᾳ εἰς τὴν γῆν κατέπλευσαν, Διομέδων μὲν ἐκέλευεν ἀναχθέντας ἐπὶ κέρως ἅπαντας ἀναιρεῖσθαι τὰ ναυάγια καὶ τοὺς ναυαγούς, Ἐρασινίδης δὲ ἐπὶ τοὺς πρὸς Μιτυλήνην πολεμίους τὴν ταχίστην πλεῖν ἅπαντας· Θράσυλλος δ᾽ ἀμφότερα ἂν ἔφη γενέσθαι, ἂν τὰς μὲν αὐτοῦ καταλίπωσι, ταῖς
30 δὲ ἐπὶ τοὺς πολεμίους πλέωσι· καὶ δοξάντων τούτων,

Classen. postulat προδόντι pro προδιδόντι. — Vulg. προὔθετο; προὔθετε, quod praebet unus ex Dind. codicibus et restituit cum Weiskio Schneid. II., iam Steph. voluit cum Fr. Porto; Morus maluit προὐτίθετο.

§. 29. B. Vict. ὑπ᾽ αὐτά. — E. γενέσθαι pro γεγενῆσθαι. — E. Διομέδης. — πρὸς Μιτ. B. D. Vict. Dind. II. III. pro εἰς Μιτ.; C. E. om. εἰς. — ἀμφότερα ἂν ἔφη, quod voluit Steph., scripsi cum Weiskio, Schneid. II. Dind. I. pro ἀμφότερα ἔφη.

Hac egregia emendatione oratio optime procedit. Est enim **μεταμελῆσαι** subiectum sequentium verborum **ἀλγεινὸν καὶ ἀνωφελὲς — ἐστί.** Bene etiam **ἤδη — πρὸς δ᾽ ἔτι** Peterus interpretatur: iam per se — tum maxime. Hartung. Partic. I. p. 141. Sed non recte idem V. D. **περὶ θανάτου ἀνθρώπους** revocat, quod ita defendit, ut simili ratione explicandum dicat atque Euripideum illud **παρθένος εὐδοκίμων γάμων**, i. e. virgo ad nuptias honestas destinata (Iph. Taur. 1113.). Nam, ut **θανάτου ἀνθρώπους** prosario scriptori eo sensu dicere liceat, ut sit *Männer des Todes*, tamen hic sensus in nostrum locum non prorsus quadrat, ubi dicendum est: si aberraveritis a recto iudicio in ea causa, quae de capite hominis agatur.

§. 28. *Ἀριστάρχῳ*] V. Thucyd. VIII, 90: **ἀνὴρ ἐν τοῖς μάλιστα καὶ ἐκ πλείστου ἐναντίος τῷ δήμῳ.** Erat enim ex iis, qui anno 411. a. Chr. quadringentorum virorum imperium constituerant.

Οἰνόην προδιδόντι] Oenoen, demum Atticae munitum, Aristarchus prodidit. Thucyd. VIII, 98. **προδιδόντι** non idem est ac **προδόντι**; verte: *dem Verräther von Oenoe*. Item infra VII, 3, 3. Neque aliter se habet quod antecedit **τὸν δῆμον καταλύοντι**, supra I, 1, 30. **προσομιλοῦντες** et infra V, 2, 10. **τοὺς — πριαμένους**, *die Käufer*. V. gramm. I, 1, 5. citatas.

καταλιπεῖν τρεῖς ναῦς ἕκαστον ἐκ τῆς αὐτοῦ ξυμμορίας, τῶν στρατηγῶν ὀκτὼ ὄντων, καὶ τὰς τῶν ταξιάρχων δέκα καὶ τὰς τῶν Σαμίων δέκα καὶ τὰς τῶν ναυάρχων τρεῖς· αὗται ἅπασαι γίγνονται ἑπτὰ καὶ τετταράκοντα, τέτταρες περὶ ἑκάστην ναῦν τῶν ἀπολωλυιῶν, δώδεκα οὐσῶν. Τῶν 31
δὲ καταλειφθέντων ταξιάρχων ἦσαν καὶ Θρασύβουλος καὶ Θηραμένης, ὃς ἐν τῇ προτέρᾳ ἐκκλησίᾳ κατηγόρει τῶν στρατηγῶν. Ταῖς δὲ ἄλλαις ναυσὶν ἔπλεον ἐπὶ τὰς πολεμίας. Τί τούτων οὐχ ἱκανῶς καὶ καλῶς ἔπραξαν; Οὐκοῦν δίκαιον τὰ μὲν πρὸς τοὺς πολεμίους μὴ καλῶς πραχθέντα τοὺς πρὸς τούτους ταχθέντας ὑπέχειν λόγον, τοὺς δὲ πρὸς τὴν ἀναίρεσιν, μὴ ποιήσαντας ἃ οἱ στρατηγοὶ ἐκέλευσαν, διότι οὐκ ἀνείλοντο, κρίνεσθαι. Τοσοῦτον δ' ἔχω εἰπεῖν ὑπὲρ ἀμφοτέρων, ὅτι ὁ χειμὼν 32
διεκώλυσε μηδὲν πρᾶξαι ὧν οἱ στρατηγοὶ παρεκελεύσαντο. Τούτων δὲ μάρτυρες οἱ σωθέντες ἀπὸ τοῦ αὐτομάτου, ὧν εἷς τῶν ἡμετέρων στρατηγῶν ἐπὶ καταδύ-

§. 30. Classen. καὶ inserit ante καταλιπεῖν. — Ante Schneid. II. scribebatur τῆς αὐτοῦ. Verba καὶ τὰς τῶν Σαμίων δέκα, quae desunt in edd. vett. et in B. D. F., primus recepit Steph.

§. 31. B. C. D. E. margg. Steph. et Leoncl. τριηραρχῶν pro ταξιάρχων. — καὶ post ἦσαν ex B. C. D. E. addidit Schneid. II. — C. D. E. Vict. πρὸς τούτοις.

§. 32. B. C. D. margg. Steph. et Leoncl. παρεσκευάσαντο pro παρεκελεύσαντο.

προὔθετε] Xenophontem προὐτίθετο scripsisse ego quoque suspicor; propter antecedens ἔδοτε librarius προὔθετε habuisse videtur pro necessario. De verbo προτιθέναι v. adn. ad §. 5.

§. 29. Μὴ ὑμεῖς γε] scil. ποιεῖτε οὕτως.

ἀλλ' ἑαυτῶν ὄντας] Peterus scribendum putat ὄντες, ut sententia existat opposita verbis πονηροῖς ἀνθρώποις πειθομένους §. 33. Frustra. Sensus est: servate eas leges, quas vobis ipsi dedistis. Nam ἑαυτῶν est pro ὑμῶν αὐτῶν.

καθ' ἃ καί] Non multum differt a καθ' ἅπερ, *bei welchen eben*.

ἀμφότερα ἂν ἔφη γενέσθαι] i. e. fore, ut utrumque eveniret, si partem reliquissent etc. In qua sententia abesse posse particulam ἄν persuadere mihi non possum.

§. 30. καταλιπεῖν] Infinitivus pendet a verbo ἔφη, quod antecessit. Alii intelligunt ἔδοξε, quod mihi durius videtur.

§. 31. ταξιάρχων] Ex iis, qui relinquebantur et qui plurimam partem erant taxiarchi, erant quoque Thrasybulus et Theramenes trierarchi. Manifestum est lectionem τριηραρχῶν ortam esse ex I, 6, 35.

τὰ — πραχθέντα] i. e. quod attinet ad — gesta. Videtur autem Xenophon in animo habuisse verbum aliquod transitivum, pro quo deinceps infertur ὑπέχειν λόγον.

σης νεὼς διασωθείς, ὃν κελεύουσι τῇ αὐτῇ ψήφῳ κρί-
νεσθαι, καὶ αὐτὸν τότε δεόμενον ἀναιρέσεως, ἧπερ τοὺς
33 οὐ πράξαντας τὰ προσταχθέντα. Μὴ τοίνυν, ὦ ἄνδρες
Ἀθηναῖοι, ἀντὶ μὲν τῆς νίκης καὶ τῆς εὐτυχίας ὅμοια
ποιήσητε τοῖς ἡττημένοις τε καὶ ἀτυχοῦσιν, ἀντὶ δὲ τῶν
ἐκ θεοῦ ἀναγκαίων ἀγνωμονεῖν δόξητε, προδοσίαν κα-
ταγνόντες ἀντὶ τῆς ἀδυναμίας οὐχ ἱκανοὺς γενομένους
διὰ τὸν χειμῶνα πρᾶξαι τὰ προσταχθέντα· ἀλλὰ πολὺ
δικαιότερον στεφάνοις γεραίρειν τοὺς νικῶντας ἢ θανάτῳ
ζημιοῦν πονηροῖς ἀνθρώποις πειθομένους.
34 Ταῦτ' εἰπὼν Εὐρυπτόλεμος ἔγραψε γνώμην κατὰ
τὸ Καννωνοῦ ψήφισμα κρίνεσθαι τοὺς ἄνδρας δίχα ἕκα-
στον· ἡ δὲ τῆς βουλῆς ἦν μιᾷ ψήφῳ ἅπαντας κρίνειν.
Τούτων δὲ διαχειροτονουμένων, τὸ μὲν πρῶτον ἔκριναν
τὴν Εὐρυπτολέμου· ὑπομοσαμένου δὲ Μενεκλέους καὶ
πάλιν διαχειροτονίας γενομένης, ἔκριναν τὴν τῆς βουλῆς.
Καὶ μετὰ ταῦτα κατεψηφίσαντο τῶν ναυμαχησάντων στρα-
35 τηγῶν, ὀκτὼ ὄντων· ἀπέθανον δὲ οἱ παρόντες ἕξ. Καὶ οὐ
πολλῷ χρόνῳ ὕστερον μετέμελε τοῖς Ἀθηναίοις καὶ ἐψη-
φίσαντο, οἵτινες τὸν δῆμον ἐξηπάτησαν, προβολὰς αὐτῶν

Ex B. C. D. marg. Steph. recepi διασωθείς pro σωθείς. — Schwidop. coll. §. 13. vult ἧπερ καὶ τούς. — οὐ post τοὺς om. A. edd. vett. excepta Cast., in qua est μή.
§. 33. Weisk. ἀντὶ μὲν τῶν τῆς νίκης. — Verba οὐχ ἱκανοὺς — προσταχθέντα Brückner. interpolata esse censet. Steph. τούς, Peter. ὡς inseri vult ante οὐχ.
§. 34. Ante Dind. legebatur Κανώνου.
§. 35. A. C. edd. vett. excepta Cast. μετέμελε. — A. E. edd. vett. προσβολάς.

§. 32. *διασωθείς*] Cur non recipiendum sit, non video. Facilius erat *δια* omittere tanquam superfluum, quam, si aberat, interserere.

§. 33. **οὐχ ἱκανοὺς γενομένους**] Haec verba, si genuina sunt, de qua re ego quoque dubito, quia qui capitis accusati sunt praetores non dici possunt omnes **οὐχ — πρᾶξαι τὰ προσταχθέντα** (v. §. 31.), si igitur profecta sunt a Xenophonte, liberiore vinculo suspensa sunt a **καταγνόντες**, cui verbo cogitando facile additur **αὐτούς**. De verbo *καταγιγνώσκειν* cum duplici accusativo iuncto cf. Lob. ad Sophocl. Ai. p. 351. ed. II.

§. 34. *τὴν Εὐρυπτολέμου*] *γνώμην* scil.

ὑπομοσαμένου] i. e. interposito iureiurando, quominus decretum fieret, intercedente. Hermann. *Gr. Staatsalterth.* §. 132, 3. Meier. et Schoem. *Att. Proc.* p. 696.

§. 35. **οἱ παρόντες ἕξ**] V. §. 2.
προβολάς] **προβολή** est accusatio, quae penes populum instituebatur eo consilio, ut reus

εἶναι καὶ ἐγγυητὰς καταστῆσαι, ἕως ἂν κριθῶσιν, εἶναι δὲ καὶ Καλλίξενον τούτων. Προὐβλήθησαν δὲ καὶ ἄλλοι τέτταρες καὶ ἐδέθησαν ὑπὸ τῶν ἐγγυησαμένων. Ὕστερον δὲ στάσεώς τινος γενομένης, ἐν ᾗ Κλεοφῶν ἀπέθανεν, ἀπέδρασαν οὗτοι, πρὶν κριθῆναι· Καλλίξενος δὲ κατελθών, ὅτε καὶ οἱ ἐκ Πειραιῶς εἰς τὸ ἄστυ, μισούμενος ὑπὸ πάντων λιμῷ ἀπέθανεν.

Ante Weisk. edebatur *ἐὰν* pro *ἕως ἂν*; hoc voluerunt iam Steph. et Leoncl. — B. C. D. E. Vict. *Καλλίξεινος*.

damnaretur, antequam causa esset cognita. Hermann. *Gr. Staatsalterth.* §. 130, 14. Meier. et Schoem. p. 272.

LIBER SECUNDUS.

CAPUT I.

ARGUMENTUM.

Lysander a Cyro pecunia instructus exercitui stipendium solvit et, expugnatis Cedreis, Cariae civitate Atheniensium socia, navigat Rhodum. Athenienses autem Chium et Ephesum transmittunt et se parant ad pugnam navalem. Tum Lysander Hellespontum petit et Lampsacum expugnatam militibus diripiendam dedit. Athenienses item illos persecuti ad Hellespontum contendunt et ad Aegospotamos, spreto Alcibiadis, qui prope habitabat, consilio, cum Lysandro infelicissima pugna confligunt, imparati ab illo oppressi. Conon cum novem navibus Cyprum ad Euagoram fugit; reliqua omnia capta. Athenienses omnes sunt necati.

---

1 *Οἱ δὲ ἐν τῇ Χίῳ μετὰ τοῦ Ἐτεονίκου στρατιῶ-
ται ὄντες, ἕως μὲν θέρος ἦν, ἀπό τε τῆς ὥρας ἐτρέ-
φοντο καὶ ἐργαζόμενοι μισθοῦ κατὰ τὴν χώραν· ἐπεὶ
δὲ χειμὼν ἐγένετο καὶ τροφὴν οὐκ εἶχον γυμνοί τε
ἦσαν καὶ ἀνυπόδητοι, ξυνίσταντο ἀλλήλοις καὶ ξυνε-
τίθεντο ὡς τῇ Χίῳ ἐπιθησόμενοι· οἷς δὲ ταῦτα ἀρέ-
σκοι κάλαμον φέρειν ἐδόκει, ἵνα ἀλλήλους μάθοιεν
2 ὁπόσοι εἴησαν. Πυθόμενος δὲ τὸ ξύνθημα ὁ Ἐτεό-
νικος, ἀπόρως μὲν εἶχε, τί χρῷτο τῷ πράγματι διὰ*

Cap. I. §. 1. Iunt. Ald. Cast. *μετὰ Ἐτεονίκου.* — B. *πόσοι* pro *ὁπόσοι.*

Cap. I. §. 1. *Οἱ δὲ ἐν τῇ Χίῳ*] V. I, 6, 36 seqq.
τῆς ὥρας] i. e. *τῶν ὡραίων καρπῶν.*
ἵνα ἀλλήλους μάθοιεν ὁπόσοι εἴησαν] V. Hier. VIII, 2: *ἐπισκοποῦντες δὲ αὐτό, εἰ οὕτως ἔχει.* V. adn. ad Oecon. XVII, 7. Buttm. gr. §. 151, 6.
§. 2. *ἀπόρως μὲν εἶχε*] His respondent §. 3. *ἀναλαβὼν δὲ — ἐπορεύετο.*
τί χρῷτο τῷ πράγματι]

τὸ πλῆθος τῶν καλαμηφόρων· τό τε γὰρ ἐκ τοῦ ἐμ-
φανοῦς ἐπιχειρῆσαι σφαλερὸν ἐδόκει εἶναι, μὴ εἰς τὰ
ὅπλα ὁρμήσωσι καὶ τὴν πόλιν κατασχόντες καὶ πολέ-
μιοι γενόμενοι ἀπολέσωσι πάντα τὰ πράγματα, ἂν κρα-
τήσωσι, τό τ' αὖ ἀπολλύναι ἀνθρώπους ξυμμάχους
πολλοὺς δεινὸν ἐφαίνετο εἶναι, μή τινα καὶ εἰς τοὺς
ἄλλους Ἕλληνας διαβολὴν σχοῖεν καὶ οἱ στρατιῶται
δύςνοοι πρὸς τὰ πράγματα ὦσιν· ἀναλαβὼν δὲ μεθ' 3
ἑαυτοῦ ἄνδρας πεντεκαίδεκα ἐγχειρίδια ἔχοντας ἐπο-
ρεύετο κατὰ τὴν πόλιν καὶ ἐντυχὼν τινι ὀφθαλμιῶντι
ἀνθρώπῳ ἀπιόντι ἐξ ἰατρείου, κάλαμον ἔχοντι, ἀπέ-
κτεινε. Θορύβου δὲ γενομένου, καὶ ἐρωτώντων τινῶν, 4
διὰ τί ἀπέθανεν ὁ ἄνθρωπος, παραγγέλλειν ἐκέλευεν
ὁ Ἐτεόνικος, ὅτι τὸν κάλαμον εἶχε. Κατὰ δὲ τὴν πα-
ραγγελίαν ἐῤῥίπτουν πάντες ὅσοι εἶχον τοὺς καλά-
μους, ἀεὶ ὁ ἀκούων δεδιὼς, μὴ ὀφθείη ἔχων. Μετὰ 5

§. 2. καλαμηφόρων B. D. marg. Steph. Vict. Schneid. II. Dind.; antea καλαμοφ. — Dind. III. δύςνοι. — πρὸς τὰ B. D. C. Vict. Dind. II. III.; vulg. ἐς τά; E. εἰς τά.
§. 3. μεθ' ἑαυτοῦ delet Vict. — ὀφθαλμ. ἀνθρώπῳ B. D. Y. Dind. II. III.; antea ἀνθρ. ὀφθ.
§. 4. Weisk. Schneid. ὁ ἀεὶ ἀκούων.

Quomodo se gereret hac in re. Cf. Ages. VI, 4: τῇ μὲν πατρίδι οὕτως ἐχρῆτο, i. e. erga patriam ita se gerebat. De accusativo τί v. adn. ad Oecon. IX, 16: ᾧ ἂν βούληται ἕκαστα χρῆσθαι.

σφαλερὸν — μὴ — ὁρμήσωσι] periculosum videbatur (i. e. metum movebat), ne ad arma currerent, ii scilicet, qui coniurationis participes essent. V. Rost. gr. schol. §. 166, 3. Cf. adn. ad Oecon. II, 7: οἰκτείρω σε, μή τι ἀνήκεστον κακὸν πάθῃς. De coniunctivo posito, quum praecedat ἐδόκει, v. adn. ad Ages. VII, 7: ἐπεμελήθη — ὅπως — ἀπόληται. Rost. gr. schol. §. 186. addit. 1. Kühner. gr. schol. §. 330. adn. 1. Loquitur haec Xen. quasi ex mente Eteonici, ut patet etiam ex verbis sequentibus ἂν κρατήσωσι, quae rectae potius conveniunt orationi.

τό τ' αὖ ἀπολλύναι] ἐκ τοῦ ἀφανοῦς scil., quod cogitando facile addas ex antecedentibus verbis ἐκ τοῦ ἐμφανοῦς. Quum enim duo essent, quae facere poterat Eteonicus, aut aperta vi aggredi coniuratos aut per insidias opprimere, neutrum fecit, sed mediam quandam se expediendi ex hac difficultate excogitavit rationem.

μὴ — διαβολὴν σχοῖεν] ne male apud ceteros Graecos audirent.

δύςνοοι] V. adn. ad κρυψινόους Ages. XI, 5. Adde Heiland. Quaestt. de Xen. dial. p. 19. Invitis codicibus in hac re moliendum nihil arbitror.

§. 4. ἀπέθανε] interfectus esset. V. ad II, 3, 24.

ἀεὶ ὁ ἀκούων] De collocatione adverbii ἀεί v. adn. ad Oecon. VIII, 7: εἰς γὰρ τὸ κενούμενον ἀεὶ οἱ ὄπισθεν ἐπέρχονται. Sanpp. ad Comment. I,

δὲ ταῦτα ὁ Ἐτεόνικος ξυγκαλέσας τοὺς Χίους χρήματα ἐκέλευσε συνειςενεγκεῖν, ὅπως οἱ ναῦται λάβωσι μισθὸν καὶ μὴ νεωτερίσωσί τι· οἱ δὲ εἰςήνεγκαν· ἅμα δὲ εἰς τὰς ναῦς ἐσήμανεν εἰςβαίνειν· προςιὼν δὲ ἐν μέρει παρ᾽ ἑκάστην ναῦν παρεθάῤῥυνέ τε καὶ παρήνει πολλὰ ὡς τοῦ γεγενημένου οὐδὲν εἰδώς, καὶ μι-
6 σθὸν ἑκάστῳ μηνὸς διέδωκε. Μετὰ δὲ ταῦτα οἱ Χῖοι καὶ οἱ ἄλλοι ξύμμαχοι συλλεγέντες εἰς Ἔφεσον ἐβουλεύσαντο περὶ τῶν ἐνεστηκότων πραγμάτων πέμπειν εἰς Λακεδαίμονα πρέσβεις ταῦτά τε ἐροῦντας καὶ Λύσανδρον αἰτήσοντας ἐπὶ τὰς ναῦς, εὖ φερόμενον παρὰ τοῖς ξυμμάχοις κατὰ τὴν προτέραν ναυαρχίαν, ὅτε καὶ
7 τὴν ἐν Νοτίῳ ἐνίκησε ναυμαχίαν. Καὶ ἀπεπέμφθησαν πρέσβεις, ξὺν αὐτοῖς δὲ καὶ παρὰ Κύρου ταὐτὰ λέγοντες ἄγγελοι. Οἱ δὲ Λακεδαιμόνιοι ἔδοσαν τὸν Λύσανδρον ὡς ἐπιστολέα, ναύαρχον δὲ Ἄρακον· οὐ γὰρ

§. 5. B. D. *συνενεγκεῖν*, unde *συνειςεν*. scripsi pro *ξυνειςεν*. — Cast. Schneid. *τὸν μισθόν*. — Dind. III. *ἐσήμηνεν*, v. adn. ad I, 1, 2. — *εἰςβαίνειν* B. D. E. Vict. marg. Steph. Schneid. II. Dind. pro vulg. *ἐμβαίνειν*. — *διέδωκε* B. D. Vict. margg. Steph. et Leoncl. Schneid. II. Dind., ceteri *δέδωκε*.
§. 6. A. C. E. Ald. Iunt. Bryl. *συλλέγοντες*. — *πέμπειν εἰς Λακ. πρέσβεις* B. D. Dind. pro *πρέσβεις εἰς Λακ. πέμπειν*.
§. 7. *δὲ καὶ* B. C. D. E. Vict. marg. Steph. Wells. seqq. edd. pro *δέκα καί*, quod est in A. — *τῷ πολέμῳ*, quod exhibent Y. marg. Steph., inseruerunt cum Weiskio seqq. edd.

6, 7. De appositione partitiva v. adn. ad II, 2, 3.
§. 5. *συνειςενεγκεῖν*] i. e. conferre, quod alibi est sive *συμφέρειν* sive *εἰςφέρειν*.
§. 6. *ἐπὶ τὰς ναῦς*] Cf. Comment. I, 1, 9: *οἷον εἴ τις ἐπερωτῴη, πότερον ἐπιστάμενον ἡνιοχεῖν ἐπὶ ζεῦγος λαβεῖν κρεῖττον ἢ μὴ ἐπιστάμενον· ἢ πότερον ἐπιστάμενον κυβερνᾶν ἐπὶ τὴν ναῦν κρεῖττον λαβεῖν ἢ μὴ ἐπιστάμενον.*
§. 7. (*ἔτων ἤδη — παρεληλυθότων*)] Hinc incipit belli Peloponnesiaci annus vicesimus septimus sive 405. a. Chr. Interpolator igitur male *πέντε* scripsit pro *ἕξ*.
§. 8. *τοῦ Ξέρξου τοῦ Δαρείου*] In voce *Ξέρξου* est error, nam Darii Nothi pater erat Artaxerxes, cuius legitimi filii erant Xerxes II. et Sogdianus, spurius Darius. Etiam id mirum est, quod iuxta productiorem formam *Δαρειαῖος* bis positam semel legitur brevior forma *Δαρεῖος*. Illa enim apud Ctesiam quidem invenitur, apud Xenophontem praeter hunc locum nusquam.
ἡ δὲ κόρη — ποιῆσαι] Haec quoque verba manum grammatici produnt, praesertim quum Cyrop. VIII, 3, 10. et 13., ubi de eadem re sermo est, quod h. l. *κόρη*, dicatur *κάνδυς*. Ceterum particulam *ἢ* post comparativum, sequente genitivo, pleonastice interponi olim putabant; nunc grammatici de hac re rectius iudicant. V. Her-

νόμος αὐτοῖς δὶς τὸν αὐτὸν ναυαρχεῖν· τὰς μέντοι ναῦς παρέδοσαν Λυσάνδρῳ (ἐτῶν ἤδη τῷ πολέμῳ πέντε καὶ εἴκοσι παρεληλυθότων).

(Τούτῳ δὲ τῷ ἐνιαυτῷ καὶ Κῦρος ἀπέκτεινεν Αὐ- 8
τοβοισάκην καὶ Μιτραῖον, υἱεῖς ὄντας τῆς Δαρειαίου ἀδελφῆς τῆς τοῦ Ξέρξου τοῦ Δαρείου πατρός, ὅτι αὐτῷ ἀπαντῶντες οὐ διέωσαν διὰ τῆς κόρης τὰς χεῖρας, ὃ ποιοῦσι βασιλεῖ μόνον· ἡ δὲ κόρη ἐστὶ μακρότερον ἢ χειρίς, ἐν ᾗ τὴν χεῖρα ἔχων οὐδὲν ἂν δύ-
ναιτο ποιῆσαι. Ἱεραμένης μὲν οὖν καὶ ἡ γυνὴ ἔλεγον 9
πρὸς Δαρειαῖον δεινὸν εἶναι, εἰ περιόψεται τὴν λίαν ὕβριν τούτου· ὁ δὲ αὐτὸν μεταπέμπεται ὡς ἀῤῥωστῶν πέμψας ἀγγέλους.)

Τῷ δ᾽ ἐπιόντι ἔτει (ἐπὶ Ἀρχύτα μὲν ἐφορεύον- 10
τος, ἄρχοντος δ᾽ ἐν Ἀθήναις Ἀλεξίου) Λύσανδρος B.P.a.27.
ἀφικόμενος εἰς Ἔφεσον μετεπέμψατο Ἐτεόνικον ἐκ

§. 8. Pirkheimer. Goldhagen. et Zeun. voluerunt *τῆς Δαρειαίας*; Weisk. scripsit *τῆς Δαρειαίου, τῆς ἀδελφῆς*. — Mor. et Zeun. *Ἀρταξέρξου*. — Ante Morum ed. *διέσωσαν*, quod est in C. E.; Wells. cum Porto *διέζωσαν*. — *μόνον* pro *μόνῳ* ex B. D. dedit Dind. II. III. — *ἢ χειρίς* scripsit Dind. II. III. e coniectura Steph. pro vulg. *ἢ χειρός*; Brod. maluit *τῆς χειρός*, Port. *χειρίδος*; Leoncl. delet *ἤ*. — Weisk. postulat *ἐν ᾗ τις τήν*. — B. D. *δύνατο*.

§. 9. Vict. *ὁ Ἐραμένης*. — Weisk. et Zeun. scribunt *Δαρεῖον*, B. *Δαριαῖον*.

§. 10. B. D. marg. Steph. Dind. II. III. *Ἀρχύτα* pro vulg. *Ἀρχύτου*.

mann. ad Soph. Antig. 1266. Matth. gr. §. 450. adn. 2. Kühner. gr. max. §. 748. adn. 2. — Pronomine *τὶς* participium *ἔχων* non indigere docet Kühner. gr. max. §. 414, 5. Apposite Dindorfius comparat Symp. I, 8: *εὐθὺς οὖν ἐννοήσας τὰ γιγνόμενα ἡγήσατ᾽ ἂν φύσει βασιλικόν τι τὸ κάλλος εἶναι*, ubi v. Saupp ium, nos ad Oecon. I, 4. et Kühner. ad Anab. I, 1, 7.

§. 9. *Ἱεραμένης*] Hic, qui alibi non commemoratur a Xenophonte, Autoboesacis et Mitraei pater esse videtur; sed hoc dicendum erat.

ὁ δὲ αὐτὸν — ἀγγέλους] Secundum Diod. XIII, 104. Cyri iter ad aegrotantem patrem incidit in ol. 93, 4., et si respicis, quae §. 10—12. narrantur, quae prius quam Cyrus ad patrem arcessitus est, facta esse censendum est, consentaneum videtur §. 9. falsa exhibere; nam quae *τῷ ἐπιόντι ἔτει* facta sunt fieri non potuerunt etiam antecedenti anno. Ita apparet verba *ὁ δὲ αὐτὸν — ἀγγέλους* non ab eo profecta esse, qui §. 13. scripsit.

§. 10. *Τῷ δ᾽ ἐπιόντι ἔτει*] Haec quoque verba Brücknerus (Progr. Suidnic. 1838. p. 11 sqq.) habet pro suppositiciis. Sed tum pessime cohaerent *τὰς μέντοι ναῦς παρέδοσαν Λυσάνδρῳ — Λύσανδρος ἀφικόμενος κτλ.* V. Praef. p. XXIX. sq. De ephori et archontis nominibus, quae statim sequuntur, v. quae disputata sunt in Praef. p. XXVI. sqq.

Χίου ξὺν ταῖς ναυσὶ καὶ τὰς ἄλλας πάσας ξυνήθροισεν,
εἴ πού τις ἦν, καὶ ταύτας τε ἐπεσκεύαζε καὶ ἄλλας
11 *ἐν Ἀντάνδρῳ ἐναυπηγεῖτο. Ἐλθὼν δὲ παρὰ Κῦρον*
χρήματα ᾔτει· ὁ δ' αὐτῷ εἶπεν, ὅτι τὰ μὲν παρὰ βα-
σιλέως ἀνηλωμένα εἴη καὶ ἔτι πλείω πολλῷ δεικνύων,
12 *ὅσα ἕκαστος τῶν ναυάρχων ἔχοι, ὅμως δ' ἔδωκε. Λα-*
βὼν δὲ ὁ Λύσανδρος τἀργύριον ἐπὶ τὰς τριήρεις τριη-
ράρχους ἐπέστησε καὶ τοῖς ναύταις τὸν ὀφειλόμενον
μισθὸν ἀπέδωκε. Παρεσκευάζοντο δὲ καὶ οἱ τῶν Ἀθη-
ναίων στρατηγοὶ πρὸς τὸ ναυτικὸν ἐν τῇ Σάμῳ.
13 *Κῦρος δ' ἐπὶ τούτοις μετεπέμψατο Λύσανδρον,*
ἐπεὶ αὐτῷ παρὰ τοῦ πατρὸς ἧκεν ἄγγελος λέγων, ὅτι
ἀῤῥωστῶν κεῖνον καλοίη, ὢν ἐν Θαμνηρίοις τῆς Μη-
δείας ἐγγὺς Καδουσίων, ἐφ' οὓς ἐστράτευσεν ἀφεστῶ-
14 *τας. Ἥκοντα δὲ Λύσανδρον οὐκ εἴα ναυμαχεῖν πρὸς*
Ἀθηναίους, ἐὰν μὴ πολλῷ πλείους ναῦς ἔχῃ· εἶναι
γὰρ χρήματα πολλὰ καὶ βασιλεῖ καὶ ἑαυτῷ, ὥςτε τού-
του ἕνεκεν πολλὰς πληροῦν. Παρέδειξε δ' αὐτῷ πάν-
τας τοὺς φόρους τοὺς ἐκ τῶν πόλεων, οἳ αὐτῷ ἴδιοι
ἦσαν, καὶ τὰ περιττὰ χρήματα ἔδωκε· καὶ ἀναμνήσας,
ὡς εἶχε φιλίας πρός τε τὴν τῶν Λακεδαιμονίων πό-
λιν καὶ πρὸς Λύσανδρον ἰδίᾳ, ἀνέβαινε παρὰ τὸν
πατέρα.
15 *Λύσανδρος δ', ἐπεὶ αὐτῷ Κῦρος πάντα παραδοὺς*

§. 11. A. E. edd. vett. *δέδωκε.*

§. 13. *κεῖνον* pro *ἐκεῖνον* scripsi cum B. D. C. — D. Weisk. Schneid. II. Dind. *Μηδίας.* — A. C. E. Ald. Iunt. Bryl. *καθεστῶτας.*

§. 14. B. *αὐτῷ* pro *ἑαυτῷ.* — A. C. E. edd. vett. *τὴν Λακεδαιμονίων.*

§. 15. B. Vict. *παρὰ τὸν* pro *πρὸς τόν.* — B. E. *Κεράμιον.* — B. *δὲ οἱ μιξοβ.*

§. 16. *Οἱ δ' Ἀθην.* B. C. Dind. II. III. pro *Οἱ δὲ Ἀθην.* —

§. 13. *Μηδείας*] Iis, quae Dindorfius ad Anab. II, 4, 27. de hac forma disseruit, mihi non persuasum erat etiam invitis libris vel, ut h. l., cum uno cod. D. vulgatam scripturam esse corrigendam. V. Poppo. ad Anab. I, 7, 15. et ibidem Kühnerum.

§. 15. *αἱρεῖ καὶ ἐξηνδραπόδισεν*] Cf. infra §. 19: *αἱροῦσι κατὰ κράτος καὶ διήρπασαν.* Anab. V, 8, 6: *Ἐνταῦθα δὴ ἀναγιγνώσκει τε αὐτὸν καὶ ἤρετο.* IV, 6, 22: *ἀπήρχοντο καὶ καταλαμβάνουσι τὸ ὄρος.* Plat. Phaed. p. 84. D: *ἐγέλασέ τε — καί φησι.*

§. 16. *Οἱ δ' Ἀθηναῖοι*] Mirum est parare se Atheneinses ad pugnam navalem, quum Chium et Ephesum peterent, Lysander autem Rhodum concessisset, sed mirabilius etiam

τὰ αὑτοῦ πρὸς τὸν πατέρα ἀῤῥωστοῦντα μετάπεμπτος
ἀνέβαινε, μισθὸν διαδοὺς τῇ στρατιᾷ ἀνήχθη τῆς Κα-
ρίας εἰς τὸν Κεράμειον κόλπον. Καὶ προσβαλὼν πόλει
τῶν Ἀθηναίων ξυμμάχῳ ὄνομα Κεδρείαις τῇ ὑστεραίᾳ
προσβολῇ κατὰ κράτος αἱρεῖ καὶ ἐξηνδραπόδισεν. Ἦσαν
δὲ μιξοβάρβαροι οἱ ἐνοικοῦντες. Ἐκεῖθεν δ' ἀπέπλευ-
σεν εἰς Ῥόδον. Οἱ δ' Ἀθηναῖοι ἐκ τῆς Σάμου ὁρμώ- 16
μενοι τὴν βασιλέως κακῶς ἐποίουν καὶ ἐπὶ τὴν Χίον Ol. 93,4.
καὶ τὴν Ἔφεσον ἐπέπλεον καὶ παρεσκευάζοντο πρὸς
ναυμαχίαν καὶ στρατηγοὺς πρὸς τοῖς ὑπάρχουσι προσ-
είλοντο Μένανδρον, Τυδέα, Κηφισόδοτον. Λύσανδρος 17
δ' ἐκ τῆς Ῥόδου παρὰ τὴν Ἰωνίαν ἐκπλεῖ πρὸς τὸν
Ἑλλήσποντον πρός τε τῶν πλοίων τὸν ἔκπλουν καὶ
ἐπὶ τὰς ἀφεστηκυίας αὐτῶν πόλεις. Ἀνήγοντο δὲ οἱ
Ἀθηναῖοι ἐκ τῆς Χίου πελάγιοι· ἡ γὰρ Ἀσία πολε- 18
μία αὐτοῖς ἦν· Λύσανδρος δ' ἐξ Ἀβύδου παρέπλει εἰς
Λάμψακον ξύμμαχον οὖσαν Ἀθηναίων· καὶ οἱ Ἀβυδη-
νοὶ καὶ οἱ ἄλλοι παρῆσαν πεζῇ· ἡγεῖτο δὲ Θώραξ
Λακεδαιμόνιος. Προσβαλόντες δὲ τῇ πόλει αἱροῦσι 19
κατὰ κράτος καὶ διήρπασαν οἱ στρατιῶται οὖσαν πλου-
σίαν καὶ οἴνου καὶ σίτου καὶ τῶν ἄλλων ἐπιτηδείων
πλήρη· τὰ δὲ ἐλεύθερα σώματα πάντα ἀφῆκε Λύσαν-
δρος. Οἱ δ' Ἀθηναῖοι κατὰ πόδας πλέοντες ὡρμί- 20
σαντο τῆς Χεῤῥονήσου ἐν Ἐλαιοῦντι ναυσὶν ὀγδοή-

Vulg. καὶ τὴν ἐπὶ Χίον; B. D. Vict. καὶ ἐπὶ Χίον; καὶ ἐπὶ τὴν Χίον dedit Wells. e marg. Steph. — προσείλοντο Dind. III. cum B. marg. Steph., ceteri εἵλοντο.

§. 17. καὶ ante οἱ Ἀθην. inclusit cum Moro et Schneid. I. Dind. I., delevit Dind. II. III.

§. 19. Y. Προσβάλλοντες.

§. 20. Οἱ δ' Ἀθην. B. D. C. Dind. II. III. pro Οἱ δὲ Ἀθ. — B. ὁρμήσαντο. — Ἐλαιοῦντι Dind. II. III. dedit ex uno suorum codd. pro Ἐλεοῦντι.

ad antecedentia aberrantem ἐν τοῖς ἱππεῦσι scripsisse pro ἐν τοῖς Ἐλευσινίοις. Minus recte Dindorfius ἐν hic idem esse quod σύν dicit. Quos autem comparat, loci Anab. V, 3, 3: ἐξέτασις ἐν τοῖς ὅπλοις γίγνεται καὶ ἀριθμός, et Cyrop. II, 4, 1: ἐξέτασιν δέ ποτε πάντων τοῦ Κύρου ποιουμένου ἐν τοῖς ὅπλοις, ubi ἐν τοῖς ὅπλοις simpliciter est in armis, non comprobant quod vult. V. Krüger. ad Anab. l. d. ed. mai. Hoc loco ἐν est inter, verti autem potest, ut recte monuit Schneiderus, ac si scriptum esset τῶν ἱππέων vel potius τῶν Ἐλευσινίων. Mihi vero verba ἐν τοῖς ἱππεῦσι, quibus facile carere possumus, inserta esse videntur ab eo, qui, quorum fieret recensus, non dici miraretur.

ἀναγαγόντα] a mari in urbem.

§. 9. τὸ Ὠιδεῖον] erat Athenis aedificium publicum, a Pericle exstructum, audiendis concentibus musicis et recitationibus poetarum destinatum. Plutarch. Pericl. c. 13. Hinrichs. l. l. p. 40.

τοὺς ἄλλους ἱππέας] i. e. equites, qui alii erant. V. adn. ad Ages. I, 13: οἱ μὲν ἄλλοι σύμμαχοι.

Ἐκ δὲ τούτου λαβὼν ὁ Θρασύβουλος τοὺς ἀπὸ Φυλῆς περὶ χιλίους ἤδη ξυνειλεγμένους, ἀφικνεῖται τῆς νυκτὸς εἰς τὸν Πειραιᾶ. Οἱ δὲ τριάκοντα ἐπεὶ ᾔσθοντο ταῦτα, εὐθὺς ἐβοήθουν ξύν τε τοῖς Λακωνικοῖς καὶ ξὺν τοῖς ἱππεῦσι καὶ τοῖς ὁπλίταις· ἔπειτα ἐχώρουν κατὰ τὴν εἰς τὸν Πειραιᾶ ἁμαξιτὸν ἀναφέ-
11 ρουσαν. Οἱ δὲ ἀπὸ Φυλῆς ἔτι μὲν ἐπεχείρησαν μὴ ἀνιέναι αὐτούς· ἐπεὶ δὲ μέγας ὁ κύκλος ὢν πολλῆς φυλακῆς ἐδόκει δεῖσθαι οὔπω πολλοῖς οὖσι, ξυνεσπειράθησαν ἐπὶ τὴν Μουνυχίαν. Οἱ δ' ἐκ τοῦ ἄστεος εἰς τὴν Ἱπποδάμειον ἀγορὰν ἐλθόντες πρῶτον μὲν ξυνετάξαντο, ὥςτε ἐμπλῆσαι τὴν ὁδόν, ᾗ φέρει πρός τε τὸ ἱερὸν τῆς Μουνυχίας Ἀρτέμιδος καὶ τὸ Βενδίδειον· καὶ ἐγένοντο βάθος οὐκ ἔλαττον ἢ ἐπὶ πεντήκοντα
12 ἀσπίδων. Οὕτω δὲ ξυντεταγμένοι ἐχώρουν ἄνω. Οἱ δὲ ἀπὸ Φυλῆς ἀντανέπλησαν μὲν τὴν ὁδόν, βάθος δὲ οὐ πλέον ἢ εἰς δέκα ὁπλίτας ἐγένοντο. Ἐτάχθησαν μέντοι ἐπ' αὐτοῖς πελτοφόροι τε καὶ ψιλοὶ ἀκοντισταί, ἐπὶ δὲ τούτοις οἱ πετροβόλοι. Οὗτοι μέντοι συχνοὶ ἦσαν· καὶ

εὐθὺς ἐβοήθουν dedi ex B. pro vulg. ἐβοήθουν εὐθύς; post εὐθὺς B. D. Vict. Schneid. II. Dind. om. αὐτοῖς, quod E. non nisi in marg. addit; Leoncl. Steph. Koeppen. malebant αὐτοί, Wyttenb. αὐτόσε; C. om. εὐθύς.

§. 11. Οἱ δ' ἐκ A. B. C. D. Dind. pro Οἱ δὲ ἐκ.

§. 12. C. ἀντανεπλήρωσαν, secunda syllaba (αν) supra lineam scripta. — Vulg. ἐπ' αὐτούς, monente Leoncl., correxit Schneid. — A. Ald. Iunt. Bryl. Cast. αὐτόθι, E. αὐτόθη pro αὐτόθεν. — B. προςίεσαν pro προςήεσαν.

ξυνειλεγμένων] Mori emendationem, quae mihi quoque placet, invitis libris recipere nolui, praesertim quum II, 1,28. de hominibus vi comprehensis et in unum locum collectis idem verbum usurpatum videamus.

§. 10. ἀναφέρουσαν] De participii transpositione v. ad I, 1, 23.

§. 11. ἔτι μὲν — ἐπεὶ δέ] Locum hunc et Anab. VI, 2, 15: Ξενοφῶν δὲ ἔτι μὲν ἐπεχείρησεν ἐκπλεῦσαι, θυομένῳ δὲ αὐτῷ ἐσήμηνεν ὁ θεὸς συστρατεύεσθαι, et Plat. Protag. p. 310. C: καὶ ἔτι μὲν ἐνεχείρησα εὐθὺς παρὰ σὲ ἰέναι, ἔπειτά μοι λίαν πόῤῥω ἔδοξε τῶν νυκτῶν εἶναι, inter se contulit Heindorfius. DIND.

καὶ ἐγένοντο — ἀσπίδων] Altitudo aciei non minus quinquaginta scutatos continebat.

§. 13. ἡμέραν πέμπτην] Cf. Cyrop. VI, 3, 11: καὶ χθὲς δὲ καὶ τρίτην ἡμέραν τὸ αὐτὸ τοῦτο ἔπραττον. Rost. gr. max. §. 104, 9. Matth. gr. §. 425, 3. d.

οὗτοι δή] Iniuria Dindorfius infra VII, 2, 5. correxit ἐν δὲ τούτῳ. Hic autem, ubi οὗτοι

γὰρ αὐτόθεν προςεγένοντο. Ἐν ᾧ δὲ προςῄεσαν οἱ ἐναντίοι, Θρασύβουλος τοὺς μετ' αὐτοῦ θέσθαι κελεύσας τὰς ἀσπίδας καὶ αὐτὸς θέμενος, τὰ δ' ἄλλα ὅπλα
ἔχων, κατὰ μέσον στὰς ἔλεξεν· Ἄνδρες πολῖται, τοὺς 13
μὲν διδάξαι, τοὺς δὲ ἀναμνῆσαι ὑμῶν βούλομαι, ὅτι εἰσὶ τῶν προσιόντων οἱ μὲν τὸ δεξιὸν ἔχοντες, οὓς ὑμεῖς ἡμέραν πέμπτην τρεψάμενοι ἐδιώξατε, οἱ δ' ἐπὶ τοῦ εὐωνύμου ἔσχατοι, οὗτοι δὴ οἱ τριάκοντα, οἳ ἡμᾶς καὶ πόλεως ἀπεστέρουν οὐδὲν ἀδικοῦντας καὶ οἰκιῶν ἐξήλαυνον καὶ τοὺς φιλτάτους τῶν ἡμετέρων ἀπεσημαίνοντο. Ἀλλὰ νῦν τοι παραγεγένηνται οὗ οὗτοι μὲν
οὔποτε ᾤοντο, ἡμεῖς δὲ ἀεὶ εὐχόμεθα. Ἔχοντες γὰρ 14
ὅπλα μὲν ἐναντίοι αὐτοῖς καθέσταμεν· οἱ δὲ θεοί, ὅτι ποτὲ καὶ δειπνοῦντες ξυνελαμβανόμεθα καὶ καθεύδοντες καὶ ἀγοράζοντες, οἱ δὲ καὶ οὐχ ὅπως ἀδικοῦντες, ἀλλ' οὐδ' ἐπιδημοῦντες ἐφυγαδευόμεθα, νῦν φανερῶς ἡμῖν ξυμμαχοῦσι. Καὶ γὰρ ἐν εὐδίᾳ χειμῶνα ποιοῦσιν, ὅταν ἡμῖν ξυμφέρῃ, καὶ ὅταν ἐγχειρῶμεν, πολλῶν ὄντων ἐναντίων, ὀλίγοις οὖσι τρόπαια ἵστασθαι διδόασι·

§. 13. *ἡμέραν πέμπτην* B. D. E. margg. Steph. et Leoncl. Schneid. II. Dind.; ceteri *ἡμέρᾳ πέμπτῃ*. — *οὗτοι δὴ* D. (fortasse etiam C.) Dind. II. III.; antea *οὗτοι δέ*. — B. *οἳ ὑμᾶς*; E. om. *οἵ*. — A. D. E. edd. ante Cast. *πόλεων*; *πόλεως* etiam Vict. — Cum Porto Koeppen. voluit *τὰ φίλτατα*, Wyttenb. *τὰ ἡμέτερα ἀπεσημαίνοντο καὶ τοὺς φιλτάτους ἀπέκτεινον*.

§. 14. Dind. III. *ὅπλα ἐναντίοι μέν*. — Bryl. Cast. Leoncl. inserunt *εἰδότες* post *οἱ δὲ θεοί*. — Schwidop. cum Moro *οἳ τότε καὶ* scribi vult. — A. C. D. E. Ald. Iunt. Steph. Leoncl. *οὐχ οὕτως*. — *ἐγχειρῶμεν* B. D. et a pr. m. E. margg. Steph. et Leoncl. Dind. II. III. pro *ἐπιχ*.

proxime sequitur verba *οἱ δὲ — ἔσχατοι*, non locus est particulae *δέ*, quae non infertur post pronomina demonstrativa, nisi ubi aut in apodosi oppositionem quandam indicet, v. Sauppium et Kühnerum ad Comment. III, 7, 8., aut, antecedente pronomine vel adverbio relativo, vim pronominis demonstrativi augeat, de quo usu v. ad Oecon. XV, 8, aut, interiectis pluribus verbis, orationem denuo excipiat. Sic illatum vides *δέ* supra I, 6, 4. post *ἐκ τούτου*, infra VII, 2, 5., Lycurg. adv. Leocr. §. 127: *καὶ τῆς πίστεως — ταύτης δὲ μὴ κληρονομεῖν*, et ceteris locis, quibus h. l. vulgatam scripturam defendere studet Hertlinius (Progr. Werth. 1836. p. 14 seq.).

ἀπεσημαίνοντο] tanquam non solum bona, sed cives ipsi etiam publicati essent: quod rarius dicendi genus, ut monet Iacobsius, indignationem loquentis apte exprimit.

§. 14. *ὅπλα μέν*] Se et suos felices praedicat Thrasybulus, primum quod armati, non inermes hostibus oppositi sint, deinde quod deos secum habeant. Hanc

15 καὶ νῦν δὲ κεκομίκασιν ἡμᾶς εἰς χωρίον, ἐν ᾧ οὗτοι
μὲν οὔτε βάλλειν οὔτε ἀκοντίζειν ὑπὲρ τῶν προτετα-
γμένων διὰ τὸ πρὸς ὄρθιον ἰέναι δύναιντ' ἄν, ἡμεῖς
δὲ εἰς τὸ κάταντες καὶ δόρατα ἀφιέντες καὶ ἀκόντια
καὶ πέτρους ἐξιξόμεθά τε αὐτῶν καὶ πολλοὺς κατα-
16 τρώσομεν. Καὶ ᾤετο μὲν ἄν τις δεήσειν τοῖς γε πρω-
τοστάταις ἐκ τοῦ ἴσου μάχεσθαι· νῦν δέ, ἂν ὑμεῖς,
ὥςπερ προςήκει, προθύμως ἀφιῆτε τὰ βέλη, ἁμαρτή-
σεται μὲν οὐδεὶς ὧν γε μεστὴ ἡ ὁδός, φυλαττόμενοι
δὲ δραπετεύσουσιν ἀεὶ ὑπὸ ταῖς ἀσπίσιν· ὥςτε ἐξέσται
ὥςπερ τυφλοὺς καὶ τύπτειν ὅπου ἂν βουλώμεθα καὶ
17 ἐναλλομένους ἀνατρέπειν. Ἀλλ', ὦ ἄνδρες, οὕτω χρὴ
ποιεῖν, ὅπως ἕκαστός τις ἑαυτῷ ξυνείσεται τῆς νίκης
αἰτιώτατος ὤν. Αὕτη γὰρ ἡμῖν, ἂν θεὸς θέλῃ, νῦν
ἀποδώσει καὶ πατρίδα καὶ οἴκους καὶ ἐλευθερίαν καὶ
τιμὰς καὶ παῖδας, οἷς εἰσί, καὶ γυναῖκας. Ὦ μακάριοι
δῆτα, οἳ ἂν ἡμῶν νικήσαντες ἐπίδωσι τὴν πασῶν ἡδί-
στην ἡμέραν. Εὐδαίμων δὲ καὶ ἄν τις ἀποθάνῃ· μνη-
μείου γὰρ οὐδεὶς οὕτω πλούσιος ὢν καλοῦ τεύξεται.
Ἐξάρξω μὲν οὖν ἐγώ, ἡνίκ' ἂν καιρὸς ᾖ, παιᾶνα· ὅταν
δὲ τὸν Ἐνυάλιον παρακαλέσωμεν, τότε πάντες ὁμοθυ-
μαδὸν ἀνθ' ὧν ὑβρίσθημεν τιμωρώμεθα τοὺς ἄνδρας.

§. 15. *νῦν δὲ* om. B. — B. D. E. *ἐφιέντες* pro *ἀφ.* — B. *ἐξιόμεθα*; Bryl. Cast. *ἀψόμεθα*.

§. 16. *πρωτοστάταις* B. C. D. Y. Mor. Schneid. Dind.; ceteri *προστάταις*. — Vict. *πίπτειν* pro *τύπτειν*. — *βουλώμεθα* B. D. C. Leoncl. Steph. Wells. Weisk. Schneid. II. Dind.; E. *βουλόμεθα*, ceteri *βουλοίμεθα*.

§. 17. *Ἐξάρξω μὲν* B. C. D. E. Vict. margg. Leoncl. et Steph. Schneid. Weisk. Dind.; ceteri *Ἐξάρξομαι*.

§. 18. *παρήγελλεν* scripsi cum B. pro *παρήγγειλεν*. — Dind. III. om. *ἂν* post *πρίν*, v. ad 3, 48. — *ὑμῖν* in B. C. D. ob causam *μὲν* particulam in suo loco reposui.

§. 16. *Καὶ ᾤετο μὲν ἄν τις — μάχεσθαι*] „Et existimasset aliquis necessario nobis pugnandum in hostem ex aequo loco fuisse, praesertim iis qui prima in acie consisterent." LEONCL.

§. 17. *ἕκαστός τις ἑαυτῷ — αἰτιώτατος ὤν*] De participii nominativo v. adn. ad II, 3, 12.

οὕτω πλούσιος ὢν καλοῦ τεύξεται] Cf. Herod. VII, 46: *ἐν γὰρ ουτω βραχέϊ βίῳ οὐδεὶς οὕτω ἄνθρωπος ἐὼν εὐδαίμων πέφυκε.* Krüger. ad Dion. Hal. p. 253.

§. 19. *τῶν δ' ἐν Πειραιεῖ δέκα ἀρχόντων*] Plutarch. Lys. 15: *τριάκοντα μὲν ἐν ἄστει, δέκα δ' ἐν Πειραιεῖ καταστήσας ἄρχοντας.*

τοὺς δὲ χιτῶνας] Nepos Thrasyb. 2: neminem iacentem veste spoliavit, nil attigit, nisi

Ταῦτα δ' εἰπὼν καὶ μεταστραφεὶς πρὸς τοὺς ἐναν- 18
τίους ἡσυχίαν εἶχε· καὶ γὰρ ὁ μάντις παρήγγελλεν αὐ-
τοῖς μὴ πρότερον ἐπιτίθεσθαι, πρὶν ἂν τῶν σφετέρων
ἢ πέσοι τις ἢ τρωθείη· ἐπειδὰν μέντοι τοῦτο γένηται,
ἡγησόμεθα μέν, ἔφη, ἡμεῖς, νίκη δ' ὑμῖν ἔσται ἑπο-
μένοις, ἐμοὶ μέντοι θάνατος, ὥς γέ μοι δοκεῖ. Καὶ 19
οὐκ ἐψεύσατο, ἀλλ' ἐπεὶ ἀνέλαβον τὰ ὅπλα, αὐτὸς μέν,
ὥςπερ ὑπὸ μοίρας τινὸς ἀγόμενος, ἐκπηδήσας πρῶτος,
ἐμπεσὼν τοῖς πολεμίοις ἀποθνήσκει, καὶ τέθαπται ἐν
τῇ διαβάσει τοῦ Κηφισοῦ· οἱ δ' ἄλλοι ἐνίκων καὶ κα-
τεδίωξαν μέχρι τοῦ ὁμαλοῦ. Ἀπέθανον δ' ἐνταῦθα τῶν
μὲν τριάκοντα Κριτίας τε καὶ Ἱππόμαχος, τῶν δ' ἐν
Πειραιεῖ δέκα ἀρχόντων Χαρμίδης ὁ Γλαύκωνος, τῶν
δ' ἄλλων περὶ ἑβδομήκοντα. Καὶ τὰ μὲν ὅπλα ἔλαβον,
τοὺς δὲ χιτῶνας οὐδενὸς τῶν πολιτῶν ἐσκύλευσαν.
Ἐπεὶ δὲ τοῦτο ἐγένετο καὶ τοὺς νεκροὺς ὑποσπόνδους
ἀπεδίδοσαν, προςιόντες ἀλλήλοις πολλοὶ διελέγοντο.
Κλεόκριτος δὲ ὁ τῶν μυστῶν κῆρυξ, μάλ' εὔφωνος ὤν, 20
κατασιωπησάμενος ἔλεξεν· Ἄνδρες πολῖται, τί ἡμᾶς
ἐξελαύνετε; τί ἀποκτεῖναι βούλεσθε; ἡμεῖς γὰρ ὑμᾶς
κακὸν μὲν οὐδὲν πώποτε ἐποιήσαμεν, μετεσχήκαμεν δὲ

superscriptum pro ἡμῖν dederunt Schneid. II. Dind. — ἑπομένοις B. D. Vict. et a pr. m. C. E. Schneid. II. Dind.; ceteri ἑπομένη.

§. 19. ἀνέλαβον B. D. C. Vict. margg. Leoncl. et Steph. Wells. Schneid. Weisk. Dind. pro ἀνέλαβε. — Marg. Leoncl. προςιόντες τε ἀλλ.

§. 20. εὔφωνος B. D. C. Vict. marg. Leoncl. Dind.; ceteri ἔμφωνος. — μὲν post κακὸν addunt B. Vict. Steph. Leoncl. Schneid. II. Dind. — οὐδὲν πώποτε B. D. Schneid. II. Dind. pro οὐδὲ πώπ. — Cum Moro Schneid. mavult συμμετεσχήκαμεν.

arma, quorum indigebat, et quae ad victum pertinebant.

§. 20. τῶν μυστῶν κῆρυξ] Utebantur mystae Eleusinii ad praeconia faciunda Eumolpidarum gente, ad quam pertinuit Cleocritus, quem hominem Aristoph. Ran. 1085. et Eupolis in dramate Κόλακες irriserunt.

εὔφωνος] Cf. quae dixi Hier. IX,6. de εὐτόνως et ἐντόνως, Oecon. VI, 10. de εὔδοξος et ἔνδοξος; εὔφωνος est suavi voce praeditus, sed habet etiam significationem vocabulo ἔμφωνος propriam: sonanti voce praeditus.

κατασιωπησάμενος] scil. omnes qui aderant. Activum habes V, 4, 7.

κακὸν μέν] Codici B. nisi assentirent Victorius et margines Stephani et Leonclavii, omisissem μὲν-particulam, quae irrepere facile potuit. V. Kühnerum ad Comment. I,3,15.

μετεσχήκαμεν — ὑμῖν] V. Plutarch. Rom. 21: ἑορτῶν

ὑμῖν καὶ ἱερῶν τῶν σεμνοτάτων καὶ θυσιῶν καὶ ἑορτῶν τῶν καλλίστων, καὶ ξυγχορευταὶ καὶ ξυμφοιτηταὶ γεγενήμεθα καὶ ξυστρατιῶται, καὶ πολλὰ μεθ' ὑμῶν κεκινδυνεύκαμεν καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν ὑπὲρ τῆς κοινῆς ἀμφοτέρων ἡμῶν σωτηρίας τε καὶ ἐλευθε-
21 ρίας. Πρὸς θεῶν πατρῴων καὶ μητρῴων καὶ ξυγγενείας καὶ κηδεστίας καὶ ἑταιρίας, πάντων γὰρ τούτων πολλοὶ κοινωνοῦμεν ἀλλήλοις, αἰδούμενοι καὶ θεοὺς καὶ ἀνθρώπους παύσασθε ἁμαρτάνοντες εἰς τὴν πατρίδα, καὶ μὴ πείθεσθε τοῖς ἀνοσιωτάτοις τριάκοντα, οἳ ἰδίων κερδέων ἕνεκα ὀλίγου δεῖν πλείους ἀπεκτόνασιν Ἀθηναίων ἐν ὀκτὼ μησὶν ἢ πάντες Πελοποννήσιοι δέκα
22 ἔτη πολεμοῦντες. Ἐξὸν δ' ἡμῖν ἐν εἰρήνῃ πολιτεύεσθαι, οὗτοι τὸν πάντων αἴσχιστόν τε καὶ χαλεπώτατον καὶ ἀνοσιώτατον καὶ ἔχθιστον καὶ θεοῖς καὶ ἀνθρώποις πόλεμον ἡμῖν πρὸς ἀλλήλους παρέχουσιν. Ἀλλ' εὖ γε μέντοι ἐπίστασθε, ὅτι καὶ τῶν νῦν ὑφ' ἡμῶν ἀποθανόντων οὐ μόνον ὑμεῖς, ἀλλὰ καὶ ἡμεῖς ἔστιν οὓς πολλὰ κατεδακρύσαμεν.

Ὁ μὲν τοιαῦτα ἔλεγεν· οἱ δὲ λοιποὶ ἄρχοντες καὶ διὰ τὸ τοιαῦτα προσακούειν τοὺς μεθ' ἑαυτῶν ἀπή-

καὶ ante κατὰ γῆν addunt B. Dind. II. III.

§. 22. τὸν πάντων B. D. E. Schneid. II. Dind.; ceteri τῶν πάντων. — E. om. cum A. D. καὶ ante ἔχθιστον et hoc vocabulum non nisi in marg. habet. — Ald. Iunt. Bryl. Cast. om. καὶ ante θεῖος. — Cast. ὑφ' ὑμῶν. — πολλὰ om. Leoncl. Wells. —

δὲ καὶ θυσιῶν ἀλλήλοις μετεῖχον. Arrian. Anab. III, 27, 5: ὑποπτεύσας (Δημήτριον) μετασχεῖν Φιλώτᾳ τῆς ἐπιβουλῆς, ubi v. Ellendtium. Kühner. gr. max. §. 573. a.

§. 21. Πρὸς θεῶν πατρῴων καὶ μητρῴων] Deos domesticos dicit, quorum unicuique sacra a patre matreque tradita essent, ut in libro de Venat. I, 15: Αἰνείας σώσας τοὺς πατρῴους καὶ μητρῴους θεούς. DIND.

τοῖς — τριάκοντα] Cf. II, 3, 18.

ἐν ὀκτὼ μησίν] Constitutum est triginta virorum imperium Aprili vel Maio mense (v. ad II, 3, 2.). Ergo pugna Piraeensis commissa est aut exeunte anno 404. aut mense Ianuario anni 403. Sievers. p. 95 seq,

δέκα ἔτη πολεμοῦντες] Decem postremos belli annos dicit, quos comprehendunt belli Decelei nomine. Isocr. adv. Callim. p. 380, 47: ὅς, δέκα μὲν ἔτη συνεχῶς ὑμῖν Λακεδαιμονίων πολεμησάντων, οὐδεμίαν παρέσχεν αὐτὸν ἡμέραν τάξαι τοῖς στρατηγοῖς. Id. Panathen. p. 244, 57. De scelesta triginta tyrannorum crudelitate cf. Isocr. Panegyr. c. 32: αὐτοὶ πλείους ἐν τρισὶ μησὶν ἀκρίτους ἀποκτείναντες, ὧν ἡ πόλις ἐπὶ τῆς ἀρχῆς ἁπάσης ἔκρινε. Id.

γαγον εἰς τὸ ἄστυ. Τῇ δ' ὑστεραίᾳ οἱ μὲν τριάκοντα 23
πάνυ δὴ ταπεινοὶ καὶ ἔρημοι ξυνεκάθηντο ἐν τῷ ξυνεδρίῳ· τῶν δὲ τρισχιλίων ὅπου ἕκαστοι τεταγμένοι ἦσαν, πανταχοῦ διεφέροντο πρὸς ἀλλήλους. Ὅσοι μὲν γὰρ ἐπεποιήκεσάν τι βιαιότερον καὶ ἐφοβοῦντο, ἐντόνως ἔλεγον, ὡς οὐ χρὴ καθυφίεσθαι τοῖς ἐν Πειραιεῖ· ὅσοι δὲ ἐπίστευον μηδὲν ἠδικηκέναι, αὐτοί τε ἀνελογίζοντο καὶ τοὺς ἄλλους ἐδίδασκον, ὡς οὐδὲν δέοιντο τούτων τῶν κακῶν, καὶ τοῖς τριάκοντα οὐκ ἔφασαν χρῆναι πείθεσθαι, οὐδ' ἐπιτρέπειν ἀπολλύναι τὴν πόλιν. Καὶ τὸ τελευταῖον ἐψηφίσαντο ἐκείνους μὲν καταπαῦσαι, ἄλλους δὲ ἑλέσθαι. Καὶ εἵλοντο δέκα, ἕνα ἀπὸ φυλῆς.

Καὶ οἱ μὲν τριάκοντα Ἐλευσίναδε ἀπῆλθον· οἱ 24
δὲ δέκα τῶν ἐν ἄστει καὶ μάλα τεταραγμένων καὶ ἀπιστούντων ἀλλήλοις ξὺν τοῖς ἱππάρχοις ἐπεμέλοντο. Ἐξεκάθευδον δὲ καὶ οἱ ἱππεῖς ἐν τῷ Ὠιδείῳ, τούς τε ἵππους καὶ τὰς ἀσπίδας ἔχοντες, καὶ δι' ἀπιστίαν ἐφώδευον τὸ μὲν ἀφ' ἑσπέρας ξὺν ταῖς ἀσπίσι κατὰ τὰ τείχη, τὸ δὲ πρὸς ὄρθρον ξὺν τοῖς ἵπποις, ἀεὶ φοβούμενοι, μὴ ἐπεισπέσοιέν τινες αὐτοῖς τῶν ἐκ τοῦ

Vict. μεθ' αὐτῶν.

§. 23. A. C. D. Ald. Iunt. Bryl. Cast. ἔφασαν χρῆν.

§. 24. ἐφώδευον τὸ pro ἐφωδεύοντο dedit Dind. II. III., Wyttenbach. Weisk. Schneid. II. Dind. I. ἐφωδεύοντο τό. — B. κατὰ τείχη.

Panathen. c. 24., Areopagit. c. 27: οἱ μὲν γὰρ ψηφίσματι παραλαβόντες τὴν πόλιν πεντακοσίους μὲν καὶ χιλίους τῶν πολιτῶν ἀκρίτους ἀπέκτειναν, εἰς δὲ τὸν Πειραιᾶ φεύγειν πλείονας ἢ πεντακισχιλίους ἠνάγκασαν. V. Hinrichs. de Theram., Crit. et Thrasyb. rebus et ingenio p. 59.

§. 22. οἱ δὲ λοιποὶ ἄρχοντες] qui non in pugna ceciderant.

καὶ διὰ τὸ τοιαῦτα προσακούειν] καί quid sibi velit, facile intelligitur: clade accepta, a suis, ut consentaneum est, conviciis petiti, quum haec insuper audissent, reliqui duodetriginta tyranni in urbem se receperunt.

§. 23. διεφέροντο] Lys. adv. Eratosth. p. 776: ἐπειδὴ δὲ πυνθάνοισθε τοὺς μὲν τρισχιλίους στασιάζοντας ἐκ τοῦ ἄστεος, τοὺς ἄλλους δὲ πολίτας ἐκκεκηρυγμένους, τοὺς δὲ τριάκοντα μὴ τὴν αὐτὴν γνώμην ἔχοντας, πλείους δ' ὄντας τοὺς ὑπὲρ ὑμῶν δεδιότας ἢ τοὺς ὑμῖν πολεμοῦντας, τότ' ἤδη καὶ κατιέναι προσεδοκᾶτε.

τοῖς ἐν Πειραιεῖ] Sic vocantur, occupato Piraeo, Thrasybulei.

§. 24. ἐφώδευον] Eodem sensu activam huius verbi formam habes V, 3, 22.

25 *Πειραιέως. Οἱ δέ, πολλοί τε ἤδη ὄντες καὶ παντοδα-*
ποί, ὅπλα ἐποιοῦντο, οἱ μὲν ξύλινα, οἱ δὲ οἰσύϊνα,
καὶ ταῦτα ἐλευκοῦντο. Πρὶν δὲ ἡμέρας δέκα γενέσθαι,
πιστὰ δόντες, οἵτινες ξυμπολεμήσειαν, καὶ εἰ ξένοι εἶεν,
ἰσοτέλειαν ἔσεσθαι, ἐξῄεσαν πολλοὶ μὲν ὁπλῖται, πολ-
λοὶ δὲ γυμνῆτες· ἐγένοντο δὲ αὐτοῖς καὶ ἱππεῖς ὡςεὶ
ἑβδομήκοντα· προνομὰς δὲ ποιούμενοι καὶ λαμβάνον-
τες ξύλα καὶ ὀπώραν ἐκάθευδον πάλιν ἐν Πειραιεῖ.
26 *Τῶν δ' ἐκ τοῦ ἄστεος ἄλλος μὲν οὐδεὶς ξὺν ὅπλοις*
ἐξῄει, οἱ δὲ ἱππεῖς ἔστιν ὅτε καὶ λῃστὰς ἐχειροῦντο
τῶν ἐκ Πειραιῶς, καὶ τὴν φάλαγγα αὐτῶν ἐκακούρ-
γουν. Περιέτυχον δὲ καὶ τῶν Αἰξωνέων τισὶν εἰς τοὺς
αὑτῶν ἀγροὺς ἐπὶ τὰ ἐπιτήδεια πορευομένοις· καὶ τού-
τους Λυσίμαχος ὁ ἵππαρχος ἀπέσφαξε πολλὰ λιτα-
27 *νεύοντας καὶ πολλῶν χαλεπῶς φερόντων ἱππέων. Ἀν-*
ταπέκτειναν δὲ καὶ οἱ ἐν Πειραιεῖ τῶν ἱππέων ἐπ' ἀ-
γροῦ λαβόντες Καλλίστρατον φυλῆς Λεοντίδος. Καὶ
γὰρ ἤδη μέγα ἐφρόνουν, ὥςτε καὶ πρὸς τὸ τεῖχος τοῦ
ἄστεος προςέβαλον. Εἰ δὲ καὶ τοῦτο δεῖ εἰπεῖν τοῦ

Πειραιέως scripsi cum A. B. D. E. pro *Πειραιῶς*.
§. 25. *πολλοί τε* B. Y. Vict. marg. Leoncl. Schneid. II. Dind. — *ἤδη* addunt e B. et marg. Leoncl. Schneid. II. Dind. — B. *σύϊνα*.
§. 26. B. *ἐκ Πειραιῶς*, quod recepi pro *ἐκ τοῦ Π.* — Vulg. *τῶν ἔξω νέων τισὶν* correxerunt cum Palmerio Valcken. Wyttenb. Zeun. Weisk. Dind.; Brückner. (*Zeitschr. f. A.-W.* 1839. no. 51.) mavult *τῶν ἔξω νέοις τισίν*. — B. C. *ἐπέσφαξε*.
§. 27. Wyttenb. corrigit *Εἰ δὲ* in *Ἔτι δέ*, Brückner. *ὃς ἐπεὶ* in

Πειραιέως] I, 2, 14. II, 2, 3. 3, 8. 4, 26. III, 5, 16. V, 1, 22. omnes codices exhibent *Πειραιῶς*, hoc autem loco, §. 36. et §. 39. *Πειραιέως*; item VI, 2, 3. *Ἁλιέων*, VI, 3, 5. *Πλαταιέων* et *Θεσπιέων*. V. Poppo. ad Thucyd. P. I. vol. 1. p. 222. P. II. vol. 1. p. 135. Schneider. ad Plat. Civit. T. I. p. 412. Kühner gr. max. §. 283, 2. adn. 3. Krüger. gr. §. 18, 5. adn. 3.

§. 25. *Οἱ δέ*] *οἱ ἐκ Πειραιέως*.

ὅπλα] scuta.

ἰσοτέλειαν] Inquilini sive *μέτοικοι*, qui nullum *μετοίκιον* solvunt, sed aequo sunt cum civibus iure in tributis pendendis, *ἰσοτελεῖς* dicuntur. — Ante *ἰσοτέλειαν* intellige *τούτοις*.

§. 26. *ἐκ Πειραιῶς*] Solet quidem ante *Πειραιῶς* articulum ponere Xenophon, sed v. §. 33., supra 3, 8., Plat. Civit. Tom. I. p. 412. ed. Schneid.

τῶν Αἰξωνέων] Vulgata lectio ferri non potest, quia singularem quasi classem *τῶν ἔξω νέων* distinguere non licet. Quod Brücknerus coniecit non est contemnendum, sed a vulgata scriptura longius recedit quam Palmerii emendatio. Indigna-

μηχανοποιοῦ τοῦ ἐν τῷ ἄστει, ὅς, ἐπεὶ ἔγνω, ὅτι κατὰ τὸν ἐκ Λυκείου δρόμον μέλλοιεν τὰς μηχανὰς προσάγειν, τὰ ζεύγη ἐκέλευσε πάντα ἁμαξιαίους λίθους ἄγειν καὶ καταβάλλειν ὅπου ἕκαστος βούλοιτο τοῦ δρόμου. Ὡς δὲ τοῦτο ἐγένετο, πολλὰ εἷς ἕκαστος τῶν λίθων πράγματα παρεῖχε. Πεμπόντων δὲ πρέσβεις εἰς Λακε- 28
δαίμονα τῶν μὲν τριάκοντα ἐξ Ἐλευσῖνος, τῶν δ' ἐν τῷ καταλόγῳ ἐξ ἄστεος, καὶ βοηθεῖν κελευόντων, ὡς ἀφεστηκότος τοῦ δήμου ἀπὸ Λακεδαιμονίων, Λύσανδρος λογισάμενος, ὅτι οἷόν τε εἴη ταχὺ ἐκπολιορκῆσαι τοὺς ἐν τῷ Πειραιεῖ κατά τε γῆν καὶ κατὰ θάλατταν, εἰ τῶν ἐπιτηδείων ἀποκλεισθείησαν, ξυνέπραξεν ἑκατόν τε τάλαντα αὐτοῖς δανεισθῆναι, καὶ αὐτὸν μὲν κατὰ γῆν ἁρμοστήν, Λίβυν δὲ τὸν ἀδελφὸν ναυαρχοῦντα ἐκπεμφθῆναι. Καὶ ἐξελθὼν αὐτὸς μὲν Ἐλευ- 29
σίναδε ξυνελέγετο ὁπλίτας πολλοὺς Πελοποννησίων· ὁ δὲ ναύαρχος κατὰ θάλατταν ἐφύλαττεν, ὅπως μηδὲν εἰςπλέοι αὐτοῖς τῶν ἐπιτηδείων· ὥςτε ταχὺ πάλιν ἐν ἀπορίᾳ ἦσαν οἱ ἐν Πειραιεῖ, οἱ δ' ἐν τῷ ἄστει πάλιν

οὗτος ἐπεί. — A. E. ζεύγεα, quod edebatur ante Wellsium, revocavit Morus; ζεύγη B. D. C. Vict. marg. Leoncl. Wells. Schneid. seqq. edd. — A. E., ut videtur, προςέβαλλον praebent, nam Gailius refert: B. C. D. προςέβαλον.

§. 28. ἐν τῷ καταλ. B. Schneid. Dind. pro ἐν καταλ. — A. E. Ald. Iunt. Bryl. Cast. δανισθῆναι.

§. 29. ξυνελέγετο A. B. (E. a sec. m. συνελέγετο) edd. exceptis Steph. Leoncl. Wells. pro ξυνέλεγεν; marg. Leoncl. ξυνελέγετο Πελοποννησίους πολλούς; Πελοποννησίους etiam Vict. —

tio equitum, quam ille V. D. eo commotam esse putat, quod iuvenes misericordiam hostium implorantes trucidati essent, excitari potuit etiam propter rusticos inermes, qui ad negotia peragenda in agros ibant, crudeliter caesos. Quod autem Aexonensium pagi nomen nemini nisi Atheniensibus notum et hanc ob causam tam nude hic non dicendum fuisse iudicat, hoc plane nullius est momenti.

§. 27. Εἰ δὲ καὶ — ὅς] Duae confunduntur structurae. Aut enim non per εἰ ordiendum, aut per οὗτος, non per ὅς, pergendum erat. Eodem modo Isocr. Archid. p. 128. §. 62: εἰ δὲ δεῖ καὶ περὶ τῶν ἔξωθεν βοηθειῶν εἰπεῖν, πολλοὺς ἔσεσθαι τοὺς βουλομένους ἡμῖν ἐπαμύνειν. Cf. Anab. VI, 4, 18: ὡς γὰρ ἐγὼ — ἤκουσά τινος, ὅτι Κλέανδρος ὁ ἐκ Βυζαντίου ἁρμοστὴς μέλλει ἥξειν πλοῖα ἔχων καὶ τριήρεις, ad quem locum v. Krügerum.

§. 28. ἑκατὸν — τάλαντα] Haec deinde post reditum exsulum populus solvit. V. Demosth. c. Lept. p. 460.

αὐτοῖς] iis qui erant in urbe et Eleusine.

αὖ μέγα ἐφρόνουν ἐπὶ τῷ Λυσάνδρῳ. Οὕτω δὲ προχωρούντων, Παυσανίας ὁ βασιλεὺς φθονήσας Λυσάνδρῳ, εἰ κατειργασμένος ταῦτα ἅμα μὲν εὐδοκιμήσοι, ἅμα δὲ ἰδίας ποιήσοιτο τὰς Ἀθήνας, πείσας
30 τῶν ἐφόρων τρεῖς ἐξάγει φρουράν. Ξυνείποντο δὲ καὶ οἱ ξύμμαχοι πάντες πλὴν Βοιωτῶν καὶ Κορινθίων· οὗτοι δὲ ἔλεγον μέν, ὅτι οὐ νομίζοιεν εὐορκεῖν ἂν στρατευόμενοι ἐπ' Ἀθηναίους μηδὲν παράσπονδον ποιοῦντας· ἔπραττον δὲ ταῦτα, ὅτι ἐγίγνωσκον Λακεδαιμονίους βουλομένους τὴν τῶν Ἀθηναίων χώραν οἰκείαν καὶ πιστὴν ποιήσασθαι. Ὁ δὲ Παυσανίας ἐστρατοπεδεύσατο μὲν ἐν τῷ Ἁλιπέδῳ καλουμένῳ πρὸς τῷ Πειραιεῖ δεξιὸν ἔχων κέρας, Λύσανδρος δὲ ξὺν τοῖς
31 μισθοφόροις τὸ εὐώνυμον. Πέμπων δὲ πρέσβεις ὁ

ποιήσοιτο B. Schneid. II. et Dind. pro *ποιήσαιτο*.

§. 30. *οὗτοι δὲ* A. B. C. D. Dind.; ceteri *οὗτοι δ'*.

§. 31. *ἐπεὶ δὲ* pro *ἐπεὶ δ'* scripsi cum B. — B. C. E. Ald. Iunt. Bryl. Cast. *προςέβαλλον*, D. *προςέβαλον*. — *οὐδὲν ἀπὸ τῆς* A. C. D. E. Vict. Steph. Leoncl. Dind.; ceteri *οὐδὲν τῆς*. — *μόρας* B. D, Vict. margg. Steph. et Leoncl. Mor. seqq. edd.; ceteri *μοίρας*. — *εὐαποτειχιστότατος* B. Vict. Dind.; ceteri

§. 29. *Οὕτω δὲ προχωρούντων*] Weiskius deesse aliquid, veluti *τῶν πραγμάτων*, putabat. Vide autem quae de hoc verbo et de latinis procedere et succedere affert Poppo ad Thucyd. I, 109: *ὡς δὲ αὐτῷ οὐ προὐχώρει*. Cf. etiam adn. ad II, 2, 16: *τοιούτων δὲ ὄντων*.

φθονήσας Λυσάνδρῳ] Iustin. V, 10. Pausaniam misericordia exsulis populi permotum patriam miseris civibus restituisse narrat. Diodorus XIV, 33. cum Xenophonte consentit, sed addit Pausaniam illud fecisse, quod Spartanos ob crudelitatem male apud ceteros Graecos audire intellexisset. Cf. Pausan. III, 5. et Hinrichs. l. l. p. 66.

τρεῖς] Ephori erant quinque.

φρουράν] i. e. exercitum: locutio laconica, saepius *φαίνειν φρουράν*, ut infra est V, 2, 3.

§. 30. *ἐν τῷ Ἁλιπέδῳ*] Haec est regio humilis inter Piraeum sita et Hymettum.

§. 31. *ἐπὶ τὰ ἑαυτῶν*] Cf. §. 38.

ὅσον ἀπὸ βοῆς ἕνεκεν] h. e. tantum initii faciundi causa; nam a clamore initium capiebant proelia et impetus in oppugnandam urbem. Atqui exspectas aut *ὅσον ἀπὸ βοῆς*, i. e. tantum clamore, v. Schneider. ad de rep. Ath. I, 11., Kühner. gr. schol. §. 288, 11. f.; aut *ὅσον βοῆς ἕνεκεν*, i. e. tantum ita, ut clamor fieret, v. Kühner. ibid. adn. c. Sed utramque dictionem videmus compositam etiam Thucyd. VIII, 92: *καὶ ὁ μὲν Θηραμένης ἐλθὼν ἐς τὸν Πειραιᾶ — ὅσον ἀπὸ βοῆς ἕνεκα ὠργίζετο τοῖς ὁπλίταις· ὁ δὲ Ἀρίσταρχος καὶ οἱ ἐναντίοι τῷ ἀληθεῖ ἐχαλέπαινον*. Kühner. gr. max.

*Πανσανίας πρὸς τοὺς ἐν Πειραιεῖ ἐκέλευεν ἀπιέναι
ἐπὶ τὰ ἑαυτῶν· ἐπεὶ δὲ οὐκ ἐπείθοντο, προςέβαλλεν
ὅσον ἀπὸ βοῆς ἕνεκεν, ὅπως μὴ δῆλος εἴη εὐμενὴς
αὐτοῖς ὤν. Ἐπεὶ δ' οὐδὲν ἀπὸ τῆς προςβολῆς πράξας
ἀπῆλθε, τῇ ὑστεραίᾳ λαβὼν τῶν μὲν Λακεδαιμονίων
δύο μόρας, τῶν δὲ Ἀθηναίων ἱππέων τρεῖς φυλάς,
παρῆλθεν ἐπὶ τὸν κωφὸν λιμένα, σκοπῶν, πῇ εὐαπο-
τειχιστότατος εἴη ὁ Πειραιεύς. Ἐπεὶ δέ, ἀπιόντος αὐ-* 32
*τοῦ, προςέθεόν τινες καὶ πράγματα αὐτῷ παρεῖχον,
ἀχθεσθεὶς παρήγγειλε τοὺς μὲν ἱππέας ἐλᾶν εἰς αὐ-
τοὺς ἐνέντας καὶ τὰ δέκα ἀφ' ἥβης ξυνέπεσθαι· ξὺν
δὲ τοῖς ἄλλοις αὐτὸς ἐπηκολούθει. Καὶ ἀπέκτειναν
μὲν ἐγγὺς τριάκοντα τῶν ψιλῶν, τοὺς δ' ἄλλους κα-
τεδίωξαν πρὸς τὸ Πειραιοῖ θέατρον. Ἐκεῖ δὲ ἔτυχον* 33

εὐαποτείχιστος.

§. 32. ἐλᾶν B. C. D. Vict. margg. Leoncl. et Steph. Dind. II. III.; ceteri *ἐλαύνειν*. — ἐνέντας B. C. D. et a pr. m. E. Vict. marg. Leoncl. Dind.; ceteri *ἀνέντας*. — E. a pr. m. *σύν*. — καὶ τὰ δέκα dedit Dind. II. III. pro *καὶ τοὺς τὰ δέκα*. — τὸ Πειραιοῖ B. Dind. II. III.; *τὸ Πειραιεῖ* C. D. Vict. margg. Leoncl. et Steph.; ceteri *τὸ ἐν Πειραιεῖ*.

§. 618, 4. affert Plat. Legg. III. p. 701. D: *τίνος δὴ χάριν ἕνεκα*, Lys. c. Evandr.: *περὶ τῶν ἐν ὀλιγαρχίᾳ ἀρξάντων ἕνεκεν*, atque nostrates quoque non raro duabus praepositionibus uti, v. c. *von Rechts wegen, um des Geschreies willen*, apposite commemorat Haackius ad Thucyd. l. d.

οὐδὲν ἀπὸ τῆς προςβολῆς πράξας] Vulgata lectio ferri nequit, quia oppugnandi initium revera fecisse Pausaniam ex iis quae antecedunt intelligitur. Accedit, quod vix graecum est: *οὐδὲν ἀπὸ τῆς προςβολῆς πράξας*. Quod Morus malebat *τῇ προςβολῇ*, si codicibus firmaretur, mihi placeret.

τὸν κωφὸν λιμένα] eodem sensu, ut monet Leonclavius, quo Homer. Il. XIV, 16. *κῦμα κωφόν*. Secundum Curtium de port. Athen. p. 34 seq. intelligendus est intimus Piraei recessus.

§. 32. προςέθεόν τινες] *τῶν ἐκ τοῦ Πειραιῶς*.

ἐλᾶν] Alterum huius formae apud Atticos rarissimae exemplum est *ἀπέλα* Cyrop. VIII, 3, 32.

ἐνέντας] Item Cyrop. VII, 1, 29: *ἐνίει οὐδὲν φειδόμενος τῶν ἵππων*. Sed diversum est quod legitur Hipparch. III, 2: *εἰς τάχος ἀνιέναι τοὺς ἵππους μέχρι τοῦ Ἐλευσινίου*.

τὰ δέκα ἀφ' ἥβης] Dindorfius aliis exemplis comprobavit constanti usu dici *τὰ δέκα ἀφ' ἥβης, τὰ πεντήκοντα ἀφ' ἥβης* et similia, non *οἱ τὰ δέκα ἀφ' ἥβης*. V. III, 4, 23. IV, 5, 15. 6, 10. V, 4, 20. VI, 4, 17. Est autem elocutio laconica.

τὸ Πειραιοῖ θέατρον] Intactum *Πειραιοῖ*, ut monet Dindorfius, servarunt libri Aeliani Var. Hist. II, 13. Sermo est de theatro, quod erat ad Munychiae collem, ubi exsules castra habebant.

ἐξοπλιζόμενοι οἵ τε πελτασταὶ πάντες καὶ οἱ ὁπλῖται τῶν ἐκ Πειραιῶς. Καὶ οἱ μὲν ψιλοὶ εὐθὺς ἐκδραμόντες ἠκόντιζον, ἔβαλλον, ἐτόξευον, ἐσφενδόνων· οἱ δὲ Λακεδαιμόνιοι, ἐπεὶ αὐτῶν πολλοὶ ἐτιτρώσκοντο, μάλα πιεζόμενοι ἀνεχώρουν ἐπὶ πόδα· οἱ δ' ἐν τούτῳ πολὺ μᾶλλον ἐπέκειντο. Ἐνταῦθα καὶ ἀποθνήσκει Χαίρων τε καὶ Θίβραχος, ἄμφω πολεμάρχω, καὶ Λακράτης ὁ ὀλυμπιονίκης καὶ ἄλλοι οἱ τεθαμμένοι Λακεδαιμονίων
34 πρὸ τῶν πυλῶν ἐν Κεραμεικῷ. Ὁρῶν δὲ ταῦτα ὁ Θρασύβουλος καὶ οἱ ἄλλοι ὁπλῖται ἐβοήθουν καὶ ταχὺ παρετάξαντο πρὸ τῶν ἄλλων ἐπ' ὀκτώ. Ὁ δὲ Παυσανίας μάλα πιεσθεὶς καὶ ἀναχωρήσας ὅσον στάδια τέτταρα ἢ πέντε πρὸς λόφον τινὰ παρήγγελλε τοῖς Λακεδαιμονίοις καὶ τοῖς ἄλλοις ξυμμάχοις ἐπιχωρεῖν πρὸς ἑαυτόν. Ἐκεῖ δὲ ξυνταξάμενος βαθεῖαν παντελῶς τὴν φάλαγγα ἦγεν ἐπὶ τοὺς Ἀθηναίους. Οἱ δ' εἰς χεῖρας μὲν ἐδέξαντο, ἔπειτα δὲ οἱ μὲν ἐξεώσθησαν εἰς τὸν ἐν ταῖς Ἁλαῖς πηλόν, οἱ δὲ ἐνέκλιναν· καὶ ἀποθνήσκουσιν αὐτῶν ὡς πεντήκοντα καὶ ἑκατόν.
35 Ὁ δὲ Παυσανίας τρόπαιον στησάμενος ἀνεχώρησε· καὶ οὐδ' ὣς ὠργίζετο αὐτοῖς, ἀλλὰ λάθρα πέμπων ἐδίδασκε τοὺς ἐν Πειραιεῖ, οἷα χρὴ λέγοντας πρέσβεις πέμπειν πρὸς ἑαυτὸν καὶ τοὺς παρόντας ἐφόρους. Οἱ

§. 33. E. Πειραιέως. — A. B. C. ἔβαλον. — ἀνεχώρουν B. C. D. Vict. et a pr. m. E. marg. Steph. Schneid. II. Dind.; ceteri ἀνεχώρησαν. — Ἐνταῦθα καὶ dedi cum Hertlinio ex B. C.; Vict. ἐνταῦθα δὲ καί; D. ἐνταῦθα δ'; ceteri ἐνταῦθα δέ.

§. 34. παρήγγελλε scripsi cum D. (B. παρήγελε) pro παρήγγειλε; E. παρήγγειλεν. — E. a pr. m. συνταξ. — B. C. Dind. II. III. παντελῶς βαθεῖαν. — A. B. C. D. E. edd. ante Steph. ἐξεώθησαν.

§. 33. Ἐνταῦθα καί] καί spectat ad ἐτιτρώσκοντο. Vulnerati non solum multi sunt Lacedaemoniorum, sed quidam etiam occisi. — Haec pugna Piraeensis incidere videtur in finem mensis Ianuarii anni 403. a. Chr. V. Sievers. l. l. p. 107.

§. 34. βαθεῖαν παντελῶς] Haec insolentior adverbii collocatio apud Xenophontem et alibi invenitur nonnunquam. Hertlinius affert ipsum βαθεῖαν παντελῶς IV, 2, 18., ὀλίγην παντελῶς V, 3, 2., ἀγαθὸς παντελῶς Ages. X, 1., λευκὰ παντελῶς Venat. IV, 7., βραχὺ παντελῶς Plut. Quaest. conviv. VI, 8, 4., καταγελαστὰ παντελῶς Aeschin. 2, 111. Item παντάπασιν infra VI, 5, 3., saepius πάνυ. V. Schaef. ad Plutarch. T. IV. p. 370. et Stallbaum. ad Plat. Phileb. 26. A.

ἐν ταῖς Ἁλαῖς πηλόν] Intelligenda est palus salsa, quae

δ' ἐπείθοντο. Διΐστη δὲ καὶ τοὺς ἐν τῷ ἄστει καὶ
ἐκέλευε πρὸς σφᾶς προσιέναι ὡς πλείστους ξυλλεγο-
μένους, λέγοντας, ὅτι οὐδὲν δέονται τοῖς ἐν τῷ Πει-
ραιεῖ πολεμεῖν, ἀλλὰ διαλυθέντες κοινῇ ἀμφότεροι Λα-
κεδαιμονίοις φίλοι εἶναι. Ἡδέως δὲ ταῦτα καὶ Ναυ- 36
κλείδας ἔφορος ὢν ξυνήκουεν· ὥςπερ γὰρ νομίζεται
ξὺν βασιλεῖ δύο τῶν ἐφόρων ξυστρατεύεσθαι, καὶ τότε
παρῆν οὗτός τε καὶ ἄλλος, ἀμφότεροι τῆς μετὰ Παυ-
σανίου γνώμης ὄντες μᾶλλον ἢ τῆς μετὰ Λυσάνδρου.
Διὰ ταῦτα οὖν καὶ εἰς τὴν Λακεδαίμονα προθύμως
ἔπεμπον τούς τ' ἐκ τοῦ Πειραιέως ἔχοντας τὰς πρὸς
Λακεδαιμονίους σπονδὰς καὶ τοὺς ἀπὸ τῶν ἐν τῷ
ἄστει ἰδιώτας, Κηφισοφῶντά τε καὶ Μέλητον. Ἐπεὶ 37
μέντοι οὗτοι ᾤχοντο εἰς Λακεδαίμονα, ἔπεμπον δὴ καὶ
οἱ ἀπὸ τοῦ κοινοῦ ἐκ τοῦ ἄστεος λέγοντας, ὅτι αὐ-
τοὶ μὲν παραδιδόασι καὶ τὰ τείχη, ἃ ἔχουσι, καὶ σφᾶς
αὐτοὺς Λακεδαιμονίοις χρῆσθαι ὅ τι βούλονται· ἀξιοῦν
δ' ἔφασαν καὶ τοὺς ἐν Πειραιεῖ, εἰ φίλοι φασὶν εἶναι
Λακεδαιμονίοις, παραδιδόναι τόν τε Πειραιᾶ καὶ τὴν
Μουνυχίαν. Ἀκούσαντες δὲ πάντων αὐτῶν οἱ ἔφοροι 38
καὶ οἱ ἔκκλητοι ἐξέπεμψαν πεντεκαίδεκα ἄνδρας εἰς
τὰς Ἀθήνας καὶ ἐπέταξαν ξὺν Παυσανίᾳ διαλλάξαι
ὅπῃ δύναιντο κάλλιστα. Οἱ δὲ διήλλαξαν ἐφ' ᾧτε εἰ- Ol. 94, 2.

§. 35. *Διΐστη* B. Vict. Schneid. II. Dind.; ceteri *Διΐστησι*.

§. 36. *δὲ* post *Ἡδέως* dederunt B. D. Vict. Schneid. II. Dind. — *Πειραιέως* scripsi cum B. pro *Πειραιῶς*; ex eodem cod. Schneid. II. et Dind. addunt articulum *τοῦ*. — *καί*, quod vulgo erat ante *Κηφισ.*, monente Wyttenbachio, om. Weisk. et Dind., seclusit Schneid. II.

§. 38. C. E. Ald. Iunt. Bryl. Cast. om. *τὲ* post *ἐφ' ᾧ*.

sita erat ad littus maximi sinus Piraei. V. Ulrichs. *Zeitschr. f. A.-W.* 1844. p. 20.

§. 35. *Διΐστη — τοὺς ἐν τῷ ἄστει*] Urbanos a se invicem dirimit.

§. 36. *νομίζεται*] positum est in more atque instituto Lacedaemoniorum.

ἔπεμπον] οἱ ἔφοροι.

τὰς — σπονδάς] foederis ineundi sive pacis formulam.

§. 37. *οἱ ἀπὸ τοῦ κοινοῦ*] οἱ δέκα. V. §. 24.

λέγοντας] De participio praesentis temporis v. adn. ad II, 1, 29. Item paullo ante §. 35.

χρῆσθαι ὅ τι βούλονται] V. adn. ad II, 1, 2.

§. 38. *οἱ ἔφοροι καὶ οἱ ἔκκλητοι*] Infra III, 2, 23: τοῖς ἐφόροις καὶ τῇ ἐκκλησίᾳ.

ρήνην μὲν ἔχειν ὡς πρὸς ἀλλήλους, ἀπιέναι δὲ ἐπὶ τὰ ἑαυτῶν ἕκαστον πλὴν τῶν τριάκοντα καὶ τῶν ἕνδεκα καὶ τῶν ἐν τῷ Πειραιεῖ ἀρξάντων δέκα. Εἰ δέ τινες φοβοῖντο τῶν ἐξ ἄστεος, ἔδοξεν αὐτοῖς Ἐλευσῖνα
39 κατοικεῖν. Τούτων δὲ περανθέντων, Παυσανίας μὲν διῆκε τὸ στράτευμα, οἱ δὲ ἐκ τοῦ Πειραιέως ἀνελθόντες ξὺν τοῖς ὅπλοις εἰς τὴν ἀκρόπολιν ἔθυσαν τῇ Ἀθηνᾷ. Ἐπεὶ δὲ κατέβησαν οἱ στρατηγοί, * ἔνθα δὴ ὁ Θρα-
40 σύβουλος ἔλεξεν· Ὑμῖν, ἔφη, ὦ ἐκ τοῦ ἄστεος ἄνδρες, ξυμβουλεύω ἐγὼ γνῶναι ὑμᾶς αὐτούς. Μάλιστα δ' ἂν γνοίητε, εἰ ἀναλογίσαισθε, ἐπὶ τίνι ὑμῖν μέγα φρονητέον ἐστίν, ὥςτε ἡμῶν ἄρχειν ἐπιχειρεῖν. Πότερον δικαιότεροί ἐστε; ἀλλ' ὁ μὲν δῆμος πενέστερος ὑμῶν ὢν οὐδὲν πώποτε ἕνεκα χρημάτων ὑμᾶς ἠδίκησεν· ὑμεῖς δὲ πλουσιώτεροι πάντων ὄντες πολλὰ καὶ αἰσχρὰ ἕνεκα κερδέων πεποιήκατε. Ἐπεὶ δὲ δικαιοσύνης οὐδὲν

ἕκαστον B. C. D. Vict. marg. Leoncl. Dind. II. III. pro ἑκάστους. — E. Vict. ἐν Πειραιεῖ. — A. Ald. Iunt. Bryl. Cast. Schneid. Weisk. Dind. I. τὴν Ἐλευσῖνα.

§. 39. περανθέντων pro περαιωθέντων, monente Wyttenbachio, receperunt Schneid. Weisk. Dind. I. III. — Dind. II. III. οἱ δ' ἐκ. — Πειραιέως scripsi cum A. B. C. D. E.

§. 40. B. ἀναλογίσησθε; E. ἀναλογίσασθε; A. Ald. Iunt. Bryl. Cast. ἀναλογίσεσθε. — δικαιότεροί ἐστε, suadente Stephano, Wells. Schneid. seqq. edd. edunt pro δικαιότερον ἔσται. — Dind. II. III. ἠδίκηκεν. — A. E. Ald. Iunt. Bryl. Cast. ἀνδρίᾳ.

ὡς πρὸς ἀλλήλους] inter se scilicet. Particula ὡς antecedens εἰρήνην ἔχειν certis quibusdam finibus circumscribitur. V. Buttm. gr. §. 149, 1. Kühner. gr. schol. §. 342. adn. 4.

πλὴν τῶν τριάκοντα] Nepos Thrasyb. 3: ne qui praeter triginta tyrannos et decem, qui postea praetores creati superioris more crudelitatis erant usi, adficerentur exsilio, neve bona publicarentur, rei publicae procuratio populo redderetur.

§. 39. Τούτων δὲ περανθέντων] V. infra III, 2, 19. Vectig. 9, 17: περαινομένων γε μὴν ὧν λέγω —. Plat. Theaet. p. 183. C: τούτων γὰρ περανθέντων, καὶ ἐμὲ δεῖ ἀπηλλάχθαι σοι ἀποκρινόμενον κατὰ τὰς συνθήκας.

* ἔνθα δή] Ante haec verba excidisse quaedam videntur, quibus concionis convocatae mentio facta erat. Comitia habebant Athenienses, auctoribus Polluce s. v. Πνύξ et Thucyd. VIII, 97., in Pnyce, qui locus iuxta acropolin in Lycabetto monte fuit.

§. 41. παρελύθητε] περιεληλύθατε vim passivam habere: circumventi estis, id quod Weiskius censuit, non magis probo, quam sententiam Mori, qui interpretatur: res vestrae in contrarium mutatae sunt. Dindorfii emendatio magis, quanquam non ab omni parte, placet. Perfectum desideramus; nam praecedens

ὑμῖν προςήκει, σκέψασθε, εἰ ἄρα ἐπ' ἀνδρείᾳ ὑμῖν
μέγα φρονητέον. Καὶ τίς ἂν καλλίων κρίσις τούτου 41
γένοιτο ἢ ὡς ἐπολεμήσαμεν πρὸς ἀλλήλους; Ἀλλὰ
γνώμῃ φαίητ' ἂν προέχειν, οἳ ἔχοντες καὶ τεῖχος καὶ
ὅπλα καὶ χρήματα καὶ ξυμμάχους Πελοποννησίους
ὑπὸ τῶν οὐδὲν τούτων ἐχόντων παρελύθητε; ἀλλ' ἐπὶ
Λακεδαιμονίοις δὴ οἴεσθε μέγα φρονητέον εἶναι; πῶς,
οἵγε, ὥςπερ τοὺς δάκνοντας κύνας κλοιῷ δήσαντες
παραδιδόασιν, οὕτω κἀκεῖνοι ὑμᾶς παραδόντες τῷ
ἠδικημένῳ τούτῳ δήμῳ οἴχονται ἀπιόντες; Οὐ μέντοι 42
γε ὑμᾶς, ὦ ἄνδρες, ἀξιῶ ἐγὼ ὧν ὀμωμόκατε παραβῆ-
ναι οὐδέν, ἀλλὰ καὶ τοῦτο πρὸς τοῖς ἄλλοις καλοῖς
ἐπιδεῖξαι, ὅτι καὶ εὔορκοι καὶ ὅσιοί ἐστε. Εἰπὼν δὲ
ταῦτα καὶ ἄλλα τοιαῦτα, καὶ ὅτι οὐδὲν δέοι ταράτ-
τεσθαι, ἀλλὰ τοῖς νόμοις τοῖς ἀρχαίοις χρῆσθαι, ἀνέ-
στησε τὴν ἐκκλησίαν. Καὶ τότε μὲν ἀρχὰς καταστη- 43

§. 41. Vitio, quod est in lectione codd. et edd. *περιεληλύθατε*, Portus mederi voluit inserens *ἐς τοῦτο*, probantibus Leoncl. et Stephano; Wells. *ἐς τοῦτο* recepit; Wyttenb. proposuit aut *περιείληφθε* aut *παραλέλυσθε*, Schneid. *περιηρέθητε*; *παρελύθητε* dedit Dind. II. III. — Vulg. *οἵγε τοὺς δάκνοντας ὥςπερ κλοιῷ δήσαντες*; *κύνας*, quod est in B. margg. Steph. et Leoncl., addidit Schneid. I.; *ὥςπερ* post *οἵγε* posuit cum Weiskio Schneid. II., sed post *ὥςπερ* inserto *οἱ*, quod Schneid. seclusit; nostram lectionem cum Wyttenb. et Matthiaeo dedit Dind.

ἐπολεμήσαμεν, quo aoristum stabilitum esse dicit Dindorfius, non prorsus eadem est conditione; neque loci sententiae verbum *παραλύεσθαι* bene convenire uno Polybii loco XXXVI, 5, 3: *οἱ δὲ πάντες ἅμα ἀνακραγόντες ἐξαυτῆς οἱονεὶ παρελύθησαν*, ubi postremum verbum Casaubonus restituit pro *παρεληλύθεισαν*, satis evincitur. Neque tamen in eo assentior Classenio, quod necessarium esse ait verbum, cui insit notio decipiendi; etenim a Pausania quidem triginta viri cum sociis fraude sunt circumventi, non vero *ὑπὸ τῶν οὐδὲν τούτων ἐχόντων*. Ab his illi fortitudine potius ac prudentia devicti sunt.

ὥςπερ — δήσαντες] Respicitur lex Solonis, de qua Plutarch. Solon. 24: *ἔγραψε δὲ καὶ βλάβης τετραπόδων νόμον, ἐν ᾧ καὶ κύνα δάκνοντα παραδοῦναι κλοιῷ τετραπήχει δεδεμένον.* Qui post *ὥςπερ* articulum *οἱ* inseri volebant, hos intelligendum esse *οἱ ἄνθρωποι* ad verbum *παραδιδόασι* praeteriit.

§. 42. *Οὐ μέντοι γε ὑμᾶς*] His verbis Thrasybulus se convertit ad amicos.

§. 43. *Καὶ τότε*] Populus in urbem rediit *τῇ δωδεκάτῃ Βοηδρομιῶνος*, teste Plutarcho (Glor. Ath. 7.), i. e. medio Septembri a. 403. a. Chr. V. Sievers. l. l. p. 95.

ἀρχὰς καταστησάμενοι] Archon eponymus creatus est

σάμενοι ἐπολιτεύοντο· ὑστέρῳ δὲ χρόνῳ ἀκούσαντες ξένους μισθοῦσθαι τοὺς Ἐλευσῖνι, στρατευσάμενοι πανδημεὶ ἐπ' αὐτοὺς τοὺς μὲν στρατηγοὺς αὐτῶν εἰς λόγους ἐλθόντας ἀπέκτειναν, τοῖς δὲ ἄλλοις εἰςπέμψαντες τοὺς φίλους καὶ ἀναγκαίους ἔπεισαν συναλλαγῆναι· καὶ ὀμόσαντες ὅρκους ἦ μὴν μὴ μνησικακήσειν ἔτι καὶ νῦν ὁμοῦ τε πολιτεύονται, καὶ τοῖς ὅρκοις ἐμμένει ὁ δῆμος.

§. 43. τοὺς Ἐλευσῖνι B. D. Dind. II. III. pro τοὺς ἐν Ἐλ. — συναλλ. scripsi cum B. C. D. et a pr. m. E. pro ξυναλλ. — ὁμοῦ τε pro ὁμοῦ γε Vict. Dind. II. III.; in B. C. utrum γὲ an τὲ scriptum fuerit, non discernendum esse narrat Gailius.

Εὐκλείδης, quo archonte leges Solonianae vel instaurabantur vel emendabantur. V. Andoc. de myster. c. 88: τούτων ἕνεκα τοῖς νόμοις ἐψηφίσασθε χρῆσθαι ἀπ' Εὐκλείδου ἄρχοντος. Item 89. 93. 94. alibi. V. etiam adn. ad II, 3, 1.

εἰς λόγους ἐλθόντας] Cf. Iustin. V, 11: „Sed ad colloquium, veluti dominationem recepturi, progressi, per insidias comprehensi ut pacis victimae trucidantur."

μὴ μνησικακήσειν] His verbis denotatur lex illa, quae posteriore demum tempore ἀμνηστία appellata est. In proverbium hanc dictionem abiisse non male collegit Hinrichs. l. l. p. 66. ex Aristoph. Plut. 1146: μὴ μνησικακήσῃς, εἰ σὺ Φυλὴν κατέλαβες, „quibus verbis Mercurius Carionem cum Thrasybulo comparat eumque ait Phylen occupasse, h. e. potentem, divitem factum esse, sed eum etiam monet, ne memor sit iniuriarum, quas ei nuper pauperi intulerit", ad quem locum schol. adnotat: ὅτι μετὰ τὸ κατελθεῖν τοὺς μετὰ Θρασυβούλου Φυλήν, καταλαβόντας καὶ νικήσαντας ἐν Πειραιεῖ τοὺς τριάκοντα ψηφίσασθαι ἔδοξε μὴ μνησικακῆσαι ἀλλήλοις καθάπαξ τοὺς πολίτας. De ἀμνηστίας lege v. Nep. Thras. 3., Valer. Max. IV, 1. Iuris iurandi formulam servavit Andoc. de myst. cap. 90: καὶ οὐ μνησικακήσω τῶν πολιτῶν οὐδενὶ πλὴν τῶν τριάκοντα καὶ τῶν ἕνδεκα, οὐδὲ τούτων ὃς ἂν ἐθέλοι εὐθύνας διδόναι τῆς ἀρχῆς, ἧς ἦρξεν. V. etiam cap. 91.

ἔτι καὶ νῦν] De tempore, quod his verbis denotari videatur, v. Praef. p. XXIII.

ὁμοῦ τε] Qui ὁμοῦ γε scribunt interpretantur hunc locum sic: saltem concordiam et iusiurandum servant, etsi aliquid μνησικακίας in animis eorum resideat.

INDEX NOMINUM PROPRIORUM.

INDEX LATINUS.

INDEX GRAECUS.

CORRIGENDA ET ADDENDA.

P. VII. v. ult. scr. Chersonesi pro Mersonesi.

p. XVIII. v. paenult. scr. exercitarentur pro exercitentur.

p. XXI. v. 15. post vocabulum tractavit exciderunt haec: Qua quidem in re non multum videatur referre, quid de eorum statuatur sententia, qui Apologiam et de Lacedaemoniorum non minus quam de Atheniensium republica libellum, et hunc quidem gravissimis, ut mihi videtur, argumentis a Xenophonte abiudicant, quia illos libros, si Xenophontis non sunt, eos certe habere auctores, qui, ut in elocutione ac sententiis, sic in exordiis quoque instituendis Xenophontem sint imitati, consentaneum est.

p. XXVIII. v. 24. post vocabulum mittebat inseras haec: Accedit II, 3, 5., qui locus et ipse est suspectus propter res partim non suo tempore, partim ne vere quidem ibi narratas.

p. XXX. adn. 1. scripsi: Secundum Thuc. II, 2. bellum Pelop. ortum est *Πυθοδώρου ἔτι δύο μῆνας ἄρχοντος Ἀθηναίοις*, i. e., si cum Poppone pro *δύο* scribas *τρεῖς*, Aprili mense a. 431. — Aliam viam, ut nunc video ex Annal. Antiq. a Iulio Caesare editis a. 1853. p. 168., ingressus est Emil. Muellerus in dissert. inaugur. De tempore, quo bellum Pelop. initium ceperit, qui, cum Boeckhio Metonis canonem illo tempore nondum institutum et annum Pythodori intercalarem fuisse statuens, pro *δύο* cum Krügero *τέσσαρας* scribendum putat: qua ratione impetum in Plataeas, quod erat belli exordium, eidem Aprili mensi, et quidem diebus 5—7 assignat. — Ceterum per se patet novum non eodem semper die annum exordiri Xenophontem, sed, ut ferebant res gestae, modo prius, modo posterius. V. e. c. adn. ad I, 3, 1.

p. XXXI. v. 27. Hic eos codices, quos Dindorfius in ed. Berolinensi suos appellat, silentio haud temere praetermisi. Quum enim qui illi et quales sint, ne coniectando quidem assequi liceat — nam quod Peterus et Spillerus intelligendos esse libros Parisienses Dindorfii iussu iterum comparatos opinantur, id falsum esse demonstravi in Annal. Antiq. a. 1851. p. 501. —, in factitanda critica Dindorfii „librorum" rationem nullam esse habendam censui.

p. XXXII. v. 19. scr. comparavit pro comparavi.

p. XXXIV. Post v. 26. adde haec: Lectionum varietatem exhibui quam potui plenissimam et ita quidem, ut eos libros vel scriptos vel editos, quos non commemoratos vides, eam lectionem habere debeas credere, quam in verborum recepi contextum. Qua quidem in re hoc unum vereor, ne Gailium, qui libros Parisienses ad priorem Schneideri editionem comparavit, ubi unius vel alterius vel omnium codicum mentionem non faciat, eos a Schneideri editione non dissentire significare voluisse

ubique recte statuerim. Etenim parum accurate comparandi munere in hoc quoque libro perfunctum esse Francogallum vel ex iis intelligere licet, quae de codicibus B. et D. narrat Haeusserus apud Hertlinium in progr. Werthem. 1841. p. 3 seqq. V. nos in Annal. Antiq. a. 1851. p. 482 et 501.

p. 11. I, 1, 18. *ταῖς εἴκοσι τῶν νεῶν*] Ad vim articuli *ταῖς* explicandam ante omnia adhibere debebam I, 6, 20. *ταῖς δ' εἴκοσι καὶ ἑκατόν.*

p. 20. I, 2, 1. (*ὡς ἅμα καὶ πελτασταῖς ἐσομένοις*)] Ei loco, quem ad defendenda haec verba, quae ego pro insiticiis habeo, Peterus ex Hellenicis affert, addere licet imprimis Thuc. VII, 27: *ὕστερον δὲ φρουραῖς ὑπὸ τῶν πόλεων κατὰ διαδοχὴν χρόνου ἐπιούσαις τῇ χώρᾳ ἐπῳκεῖτο.* Sunt dativi instrumentales, quales in locutionibus militaribus usurpantur, quorum natura accedente participio non mutatur.

p. 24. I, 3, 1. *Ἐπεὶ δ' ὁ χειμὼν ἔληγε*] post diem vicesimum quintum mensis Martii. Ubi exciderunt verba: ex ratione Dodwelli.

p. 46. I, 6, 16. adn. v. 4. scr. situs erat pro sita erat.

p. 53. I, 7, 5. adn. v. 2. scr. *πλεύσαιεν* pro *πλεύσειεν.*

p. 58. I, 7, 23. Buttmanni coniecturam *καθ' ἕνα ἕκαστος*, quam probat Schwidopius, refutare, quum librorum lectio se ipsa defendat, vix operae pretium videbatur. Exempla si desideras, quibus *καθ' ἕνα ἕκαστον* vel *καθ' ἓν ἕκαστον* ita saepius poni confirmatur, ut *ἕκαστον* cum *ἕν* vel *ἕνα* arctissime sit iungendum, adi Hertlinium in progr. Werthem. a. 1845. p. 13 seq.

p. 82. II, 3, 1. adn. v. 4. scr. *ᾧ ἦν* pro *ῳ ἦν* et v. 11. scr. *Τῷ δ' ἐπιόντι ἔτει* pro *Τῷ δ' ἐπιόντι.*

p. 98. II, 3, 43. Var. lect. v. 1. dele verba: Fortasse legendum **οὐχ οὗτοι τοὺς π.**

Gothae, litteris officinae Engelhardo-Reyherianae.